eul_wid: emo-ae

*Αἰσχύλος ὁ τραγικός* · Aeschylus the Tragedian

# Agamemnon

*Ἀγαμέμνων*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δράμα Ἀττικόν* Attic Drama
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

ΦΥΛΑΞ
Θεοὺς μὲν αἰτῶ τῶνδ’ ἀπαλλαγὴν πόνων,
φρουρᾶς ἐτείας μῆκος, ἣν κοιμώμενος
στέγαις Ἀτρειδῶν ἄγκαθεν, κυνὸς δίκην,
ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν,
καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι
[ἀστέρας, ὅταν φθίνωσιν, ἀντολάς τε τῶν].
καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,
αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν
ἁλώσιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖ
γυναικὸς ἀνδρόβουλον ἐλπίζον κέαρ.
εὖτ’ ἂν δὲ νυκτίπλαγκτον ἔνδροσόν τ’ ἔχων
εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην
ἐμήν—φόβος γὰρ ἀνθ’ ὕπνου παραστατεῖ,
τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ—
ὅταν δ’ ἀείδειν ἢ μινύρεσθαι δοκῶ,
ὕπνου τόδ’ ἀντίμολπον ἐντέμνων ἄκος,
κλαίω τότ’ οἴκου τοῦδε συμφορὰν στένων
οὐχ ὡς τὰ πρόσθ’ ἄριστα διαπονουμένου.
νῦν δ’ εὐτυχὴς γένοιτ’ ἀπαλλαγὴ πόνων εὐαγγέλου φανέντος ὀρφναίου πυρός.
ὦ χαῖρε λαμπτήρ, νυκτὸς ἡμερήσιον
φάος πιφαύσκων καὶ χορῶν κατάστασιν
πολλῶν ἐν Ἄργει, τῆσδε συμφορᾶς χάριν.
ἰοὺ ἰού.

Ἀγαμέμνονος γυναικὶ σημαίνω τορῶς
εὐνῆς ἐπαντείλασαν ὡς τάχος δόμοις
ὀλολυγμὸν εὐφημοῦντα τῇδε λαμπάδι
ἐπορθιάζειν, εἴπερ Ἰλίου πόλις
ἑάλωκεν, ὡς ὁ φρυκτὸς ἀγγέλλων πρέπει·
αὐτός τ᾽ ἔγωγε φροίμιον χορεύσομαι.
τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι
τρὶς ἓξ βαλούσης τῆσδέ μοι φρυκτωρίας.
γένοιτο δ᾽ οὖν μολόντος εὐφιλῆ χέρα
ἄνακτος οἴκων τῇδε βαστάσαι χερί.
τὰ δ᾽ ἄλλα σιγῶ· βοῦς ἐπὶ γλώσσῃ μέγας
βέβηκεν· οἶκος δ᾽ αὐτός, εἰ φθογγὴν λάβοι,
σαφέστατ᾽ ἂν λέξειεν· ὡς ἑκὼν ἐγὼ
μαθοῦσιν αὐδῶ κοὐ μαθοῦσι λήθομαι.

ΧΟΡΟΣ

δέκατον μὲν ἔτος τόδ᾽ ἐπεὶ Πριάμῳ
μέγας ἀντίδικος,
Μενέλαος ἄναξ ἠδ᾽ Ἀγαμέμνων,
διθρόνου Διόθεν καὶ δισκήπτρου
τιμῆς ὀχυρὸν ζεῦγος Ἀτρειδᾶν,
στόλον Ἀργείων χιλιοναύταν
τῆσδ᾽ ἀπὸ χώρας
ἦραν, στρατιῶτιν ἀρωγάν,
μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη
τρόπον αἰγυπιῶν,
οἵτ᾽ ἐκπατίοις ἄλγεσι παίδων
ὕπατοι λεχέων στροφοδινοῦνται
πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι,
δεμνιοτήρη
πόνον ὀρταλίχων ὀλέσαντες·
ὕπατος δ᾽ ἀίων ἤ τις Ἀπόλλων
ἢ Πὰν ἢ Ζεὺς οἰωνόθροον
γόον ὀξυβόαν τῶνδε μετοίκων
ὑστερόποινον
πέμπει παραβᾶσιν Ἐρινύν.
οὕτω δ᾽ Ἀτρέως παῖδας ὁ κρείσσων
ἐπ᾽ Ἀλεξάνδρῳ πέμπει ξένιος
Ζεὺς πολυάνορος ἀμφὶ γυναικός,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλὰ παλαίσματα καὶ γυιοβαρῆ,
60.5 γόνατος κονίαισιν ἐρειδομένου
65.1 διακναιομένης τ’ ἐν προτελείοις
65.2 κάμακος, θήσων Δαναοῖσιν
65.3 Τρωσί θ’ ὁμοίως. ἔστι δ’ ὅπη νῦν
65.4 ἔστι· τελεῖται δ’ ἐς τὸ πεπρωμένον·
65.5 οὔθ’ ὑποκαίων οὔτ’ ἐπιλείβων
70 οὔτε δακρύων ἀπύρων ἱερῶν
unit_18.1 ὀργὰς ἀτενεῖς παραθέλξει.
unit_18.2 ἡμεῖς δ’ ἀτίται σαρκὶ παλαιᾷ
unit_18.3 τῆς τότ’ ἀρωγῆς ὑπολειφθέντες
unit_18.4 μίμνομεν ἰσχὺν
75.1 ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις.
75.2 ὅ τε γὰρ νεαρὸς μυελὸς στέρνων
75.3 ἐντὸς ἀνᾴσσων
75.4 ἰσόπρεσβυς Ἄρης δ’ οὐκ ἔνι χώρᾳ,
75.5 τό θ’ ὑπέργηρων φυλλάδος ἤδη
80.1 κατακαρφομένης τρίποδας μὲν ὁδοὺς
80.2 στείχει, παιδὸς δ’ οὐδὲν ἀρείων
80.3 ὄναρ ἡμερόφαντον ἀλαίνει.
82.1 σὺ δέ, Τυνδάρεω
82.2 θύγατερ, βασίλεια Κλυταιμήστρα,
85.1 τί χρέος; τί νέον; τί δ’ ἐπαισθομένη
85.2 τίνος ἀγγελίας
85.3 πειθοῖ περίπεμπτα θυοσκεῖς;
85.4 πάντων δὲ θεῶν τῶν ἀστυνόμων,
85.5 ὑπάτων, χθονίων,
90.1 τῶν τε θυραίων τῶν τ’ ἀγοραίων,
90.2 βωμοὶ δώροισι φλέγονται·
90.3 ἄλλη δ’ ἄλλοθεν οὐρανομήκης
unit_24.1 λαμπὰς ἀνίσχει,
unit_24.2 φαρμασσομένη χρίματος ἁγνοῦ
95.1 μαλακαῖς ἀδόλοισι παρηγορίαις,
95.2 πελάνῳ μυχόθεν βασιλείῳ.
95.3 τούτων λέξας’ ὅ τι καὶ δυνατὸν
95.4 καὶ θέμις αἴνει
95.5 παιών τε γενοῦ τῆσδε μερίμνης,
unit_26.1 ἣ νῦν τοτὲ μὲν κακόφρων τελέθει,
unit_26.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοτὲ δ’ ἐκ θυσιῶν ἀγάν’ ἀμφαίνους’
unit_26.3 ἐλπὶς ἀμύνει φροντίδ’ ἄπληστον
unit_26.4 τὴν θυμοφθόρον λύπης φρένα.
103 κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν[στρ. α.
105 ἐντελέων· ἔτι γὰρ θεόθεν καταπνεύει
106-107 πειθώ, μολπᾶν ἀλκάν, σύμφυτος αἰών·
108-109 ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβας
110.1 ξύμφρονα ταγάν,
110.2 πέμπει σὺν δορὶ καὶ χερὶ πράκτορι
112-113 θούριος ὄρνις Τευκρίδ’ ἐπ’ αἶαν,
114 οἰωνῶν βασιλεὺς βασιλεῦσι νεῶν ὁ κελαινός, ὅ τ’ ἐξόπιν
115 ἀργᾶς,
unit_35.1 φανέντες ἴκταρ μελάθρων χερὸς ἐκ δοριπάλτου
unit_35.2 παμπρέπτοις ἐν ἕδραισι,
118-119 βοσκόμενοι λαγίναν, ἐρικύμονα φέρματα, γένναν,
120.1 βλαβέντα λοισθίων δρόμων.
120.2 αἴλινον αἴλινον εἰπέ, τὸ δ’ εὖ νικάτω.
121 κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λήμασι δισσοὺς[ἀντ. α.
123-124 Ἀτρεΐδας μαχίμους ἐδάη λαγοδαίτας
125 πομπούς τ’ ἀρχάς· οὕτω δ’ εἶπε τεράζων·
126-127 ‘χρόνῳ μὲν ἀγρεῖ Πριάμου πόλιν ἅδε κέλευθος,
128.1 πάντα δὲ πύργων
128.2 κτήνη πρόσθε τὰ δημιοπληθέα
130 Μοῖρα λαπάξει πρὸς τὸ βίαιον·
131-134 οἷον μή τις ἄγα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας
135.1 στρατωθέν. οἴκτῳ γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνὰ
135.2 πτανοῖσιν κυσὶ πατρὸς
135.3 αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισι·
135.4 στυγεῖ δὲ δεῖπνον αἰετῶν.‘
135.5 αἴλινον αἴλινον εἰπέ, τὸ δ’ εὖ νικάτω.
140 ‘τόσον περ εὔφρων ἁ καλά,[μεσῳδ.
unit_47.1 δρόσοις ἀέπτοις μαλερῶν λεόντων
unit_47.2 πάντων τ’ ἀγρονόμων φιλομάστοις
unit_47.3 θηρῶν ὀβρικάλοισι τερπνά,
unit_47.4 τούτων αἰτεῖ ξύμβολα κρᾶναι,
145.1 δεξιὰ μὲν κατάμομφα δὲ φάσματα στρουθῶν.
145.2 ἰήιον δὲ καλέω Παιᾶνα,
147-150 μή τινας ἀντιπνόους Δαναοῖς χρονίας ἐχενῆδας ἀπλοίας
151

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τεύξῃ, σπευδομένα θυσίαν ἑτέραν, ἄνομόν τιν’, ἄδαιτον,
152-153 νεικέων τέκτονα σύμφυτον,
154 οὐ δεισήνορα. μίμνει γὰρ φοβερὰ παλίνορτος
155.1 οἰκονόμος δολία μνάμων μῆνις τεκνόποινος.‘
155.2 τοιάδε Κάλχας ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξεν
155.3 μόρσιμ’ ἀπ’ ὀρνίθων ὁδίων οἴκοις βασιλείοις·
155.4 τοῖς δ’ ὁμόφωνον
155.5 αἴλινον αἴλινον εἰπέ, τὸ δ’ εὖ νικάτω.
160.1 Ζεύς, ὅστις ποτ’ ἐστίν, εἰ τόδ’ αὐ-[στρ. β.
160.2 τῷ φίλον κεκλημένῳ,
160.3 τοῦτό νιν προσεννέπω.
160.4 οὐκ ἔχω προσεικάσαι
160.5 πάντ’ ἐπισταθμώμενος
165.1 πλὴν Διός, εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος
165.2 χρὴ βαλεῖν ἐτητύμως.
168.1 οὐδ’ ὅστις πάροιθεν ἦν μέγας,[ἀντ. β.
168.2 παμμάχῳ θράσει βρύων,
170.1 οὐδὲ λέξεται πρὶν ὤν·
170.2 ὃς δ’ ἔπειτ’ ἔφυ, τρια-
170.3 κτῆρος οἴχεται τυχών.
173-174 Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων
175 τεύξεται φρενῶν τὸ πᾶν,
175.1 τὸν φρονεῖν βροτοὺς ὁδώ-[στρ. γ.
175.2 σαντα, τὸν πάθει μάθος
175.3 θέντα κυρίως ἔχειν.
175.4 στάζει δ’ ἀνθ’ ὕπνου πρὸ καρδίας
180.1 μνησιπήμων πόνος· καὶ παρ’ ἄ-
180.2 κοντας ἦλθε σωφρονεῖν.
180.3 δαιμόνων δέ που χάρις βίαιος
180.4 σέλμα σεμνὸν ἡμένων.
183 καὶ τόθ’ ἡγεμὼν ὁ πρέ-[ἀντ. γ.
185.1 σβυς νεῶν Ἀχαιικῶν,
185.2 μάντιν οὔτινα ψέγων,
185.3 ἐμπαίοις τύχαισι συμπνέων,
185.4 εὖτ’ ἀπλοίᾳ κεναγγεῖ βαρύ-
185.5 νοντ’ Ἀχαιικὸς λεώς,
190.1 Χαλκίδος πέραν ἔχων παλιρρό-
190.2 χθοις ἐν Αὐλίδος τόποις·
191.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πνοαὶ δ’ ἀπὸ Στρυμόνος μολοῦσαι[στρ. δ.
191.2 κακόσχολοι, νήστιδες, δύσορμοι,
191.3 βροτῶν ἄλαι,
195.1 ναῶν 〈τε〉 καὶ πεισμάτων ἀφειδεῖς,
195.2 παλιμμήκη χρόνον τιθεῖσαι
unit_67.1 τρίβῳ κατέξαινον ἄνθος Ἀργεί-
unit_67.2 ων· ἐπεὶ δὲ καὶ πικροῦ
unit_67.3 χείματος ἄλλο μῆχαρ
unit_68.1 βριθύτερον πρόμοισιν
unit_68.2 μάντις ἔκλαγξεν
unit_68.3 προφέρων Ἄρτεμιν, ὥστε χθόνα βάκτροις
unit_68.4 ἐπικρούσαντας Ἀτρείδας
unit_68.5 δάκρυ μὴ κατασχεῖν·
205.1 ἄναξ δ’ ὁ πρέσβυς τόδ’ εἶπε φωνῶν·[ἀντ. δ.
205.2 ‘βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι,
205.3 βαρεῖα δ’, εἰ
205.4 τέκνον δαΐξω, δόμων ἄγαλμα,
205.5 μιαίνων παρθενοσφάγοισιν
210.1 ῥείθροις πατρῴους χέρας πέλας βω-
210.2 μοῦ. τί τῶνδ’ ἄνευ κακῶν;
210.3 πῶς λιπόναυς γένωμαι
210.4 ξυμμαχίας ἁμαρτών;
210.5 παυσανέμου γὰρ
215.1 θυσίας παρθενίου θ’ αἵματος ὀργᾷ
215.2 περιόργως ἐπιθυμεῖν
215.3 θέμις. εὖ γὰρ εἴη.‘
217.1 ἐπεὶ δ’ ἀνάγκας ἔδυ λέπαδνον[στρ. ε.
217.2 φρενὸς πνέων δυσσεβῆ τροπαίαν
220.1 ἄναγνον, ἀνίερον, τόθεν
220.2 τὸ παντότολμον φρονεῖν μετέγνω.
unit_74.1 βροτοὺς θρασύνει γὰρ αἰσχρόμητις
unit_74.2 τάλαινα παρακοπὰ πρωτοπήμων.
unit_74.3 ἔτλα δ’ οὖν θυτὴρ γενέσθαι
225.1 θυγατρός, γυναικοποίνων
225.2 πολέμων ἀρωγὰν
225.3 καὶ προτέλεια ναῶν.
227.1 λιτὰς δὲ καὶ κληδόνας πατρῴους[ἀντ. ε.
227.2 παρ’ οὐδὲν αἰῶ τε παρθένειον
230.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔθεντο φιλόμαχοι βραβῆς.
230.2 φράσεν δ’ ἀόζοις πατὴρ μετ’ εὐχὰν
230.3 δίκαν χιμαίρας ὕπερθε βωμοῦ
230.4 πέπλοισι περιπετῆ παντὶ θυμῷ
230.5 προνωπῆ λαβεῖν ἀέρδην,
235.1 στόματός τε καλλιπρῴρου
235.2 φυλακᾷ κατασχεῖν
235.3 φθόγγον ἀραῖον οἴκοις.
237.1 βίᾳ χαλινῶν δ’, ἀναύδῳ μένει,[στρ. ζ.
237.2 κρόκου βαφὰς [δ’] ἐς πέδον χέουσα,
240.1 ἔβαλλ’ ἕκαστον θυτή-
240.2 ρων ἀπ’ ὄμματος βέλει φιλοίκτῳ,
240.3 πρέπουσα τὼς ἐν γραφαῖς, προσεννέπειν
240.4 θέλους’, ἐπεὶ πολλάκις
240.5 πατρὸς κατ’ ἀνδρῶνας εὐτραπέζους
245.1 ἔμελψεν, ἁγνᾷ δ’ ἀταύρωτος αὐδᾷ πατρὸς
245.2 φίλου τριτόσπονδον εὔποτμον
245.3 παιῶνα φίλως ἐτίμα.
247.1 τὰ δ’ ἔνθεν οὔτ’ εἶδον οὔτ’ ἐννέπω·[ἀντ. ζ.
247.2 τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.
unit_83.1 Δίκα δὲ τοῖς μὲν παθοῦ-
unit_83.2 σιν μαθεῖν ἐπιρρέπει· τὸ μέλλον
unit_83.3 ἐπεὶ γένοιτ’ ἂν κλύοις· πρὸ χαιρέτω·
unit_83.4 ἴσον δὲ τῷ προστένειν.
unit_83.5 τορὸν γὰρ ἥξει σύνορθρον αὐγαῖς.
255.1 πέλοιτο δ’ οὖν ἁ ’πὶ τούτοισιν εὖ πρᾶξις, ὡς
255.2 θέλει τόδ’ ἄγχιστον Ἀπίας
255.3 γαίας μονόφρουρον ἕρκος.
257.1 —ἥκω σεβίζων σόν, Κλυταιμήστρα, κράτος·
257.2 δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν
260.1 γυναῖκ’ ἐρημωθέντος ἄρσενος θρόνου.
260.2 σὺ δ’ εἴ τι κεδνὸν εἴτε μὴ πεπυσμένη
260.3 εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς,
260.4 κλύοιμ’ ἂν εὔφρων· οὐδὲ σιγώσῃ φθόνος.
263 ΚΛΥΤΑΙΜΗΣΤΡΑ
264 εὐάγγελος μέν, ὥσπερ ἡ παροιμία,
265.1 ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα.
265.2 πεύσῃ δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν·
265.3

Πριάμου γὰρ ᾑρήκασιν Ἀργεῖοι πόλιν.
265.4 Χο.πῶς φῄς; πέφευγε τοὔπος ἐξ ἀπιστίας.
265.5 Κλ.Τροίαν Ἀχαιῶν οὖσαν· ἦ τορῶς λέγω;
270.1 Χο.χαρά μ’ ὑφέρπει δάκρυον ἐκκαλουμένη.
270.2 Κλ.εὖ γὰρ φρονοῦντος ὄμμα σοῦ κατηγορεῖ.
270.3 Χο.τί γὰρ τὸ πιστόν; ἔστι τῶνδέ σοι τέκμαρ;
270.4 Κλ.ἔστιν· τί δ’ οὐχί; μὴ δολώσαντος θεοῦ.
270.5 Χο.πότερα δ’ ὀνείρων φάσματ’ εὐπειθῆ σέβεις;
275.1 Κλ.οὐ δόξαν ἂν λάκοιμι βριζούσης φρενός.
275.2 Χο.ἀλλ’ ἦ ς’ ἐπίανέν τις ἄπτερος φάτις;
275.3 Κλ.παιδὸς νέας ὣς κάρτ’ ἐμωμήσω φρένας.
275.4 Χο.ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις;
275.5 Κλ.τῆς νῦν τεκούσης φῶς τόδ’ εὐφρόνης λέγω.
280.1 Χο.καὶ τίς τόδ’ ἐξίκοιτ’ ἂν ἀγγέλων τάχος;
280.2 Κλ.Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας.
280.3 φρυκτὸς δὲ φρυκτὸν δεῦρ’ ἀπ’ ἀγγάρου πυρὸς
280.4 ἔπεμπεν· Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας
280.5 Λήμνου· μέγαν δὲ πανὸν ἐκ νήσου τρίτον
285.1 Ἀθῷον αἶπος Ζηνὸς ἐξεδέξατο,
285.2 ὑπερτελής τε, πόντον ὥστε νωτίσαι
285.3 ἰχθῦς πορευτοῦ λαμπάδος πρὸς ἡδονήν,
285.4 πεύκη τὸ χρυσοφεγγές, ὥς τις ἥλιος,
unit_94 σέλας παραγγείλασα Μακίστου σκοπαῖς·
290.1 ὁ δ’ οὔτι μέλλων οὐδ’ ἀφρασμόνως ὕπνῳ
290.2 νικώμενος παρῆκεν ἀγγέλου μέρος·
290.3 ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ’ Εὐρίπου ῥοὰς
290.4 Μεσσαπίου φύλαξι σημαίνει μολόν.
290.5 οἱ δ’ ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω
295.1 γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί.
295.2 σθένουσα λαμπὰς δ’ οὐδέπω μαυρουμένη,
295.3 ὑπερθοροῦσα πεδίον Ἀσωποῦ, δίκην
295.4 φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας,
295.5 ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός.
unit_97.1 φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο
unit_97.2 φρουρά, πλέον καίουσα τῶν εἰρημένων,
unit_97.3 λίμνην δ’ ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος,
unit_97.4 ὄρος τ’ ἐπ’ Αἰγίπλαγκτον ἐξικνούμενον
unit_97.5 ὤτρυνε θεσμὸν μὴ χατίζεσθαι πυρός.
305.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πέμπουσι δ’ ἀνδαίοντες ἀφθόνῳ μένει
φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικοῦ
πορθμοῦ κάτοπτον πρῶν’ ὑπερβάλλειν πρόσω
φλέγουσαν· εἶτ’ ἔσκηψεν, εὖτ’ ἀφίκετο
Ἀραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
κἄπειτ’ Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος
φάος τόδ’ οὐκ ἄπαππον Ἰδαίου πυρός.
τοιοίδε τοί μοι λαμπαδηφόρων νομοί,
ἄλλος παρ’ ἄλλου διαδοχαῖς πληρούμενοι·
νικᾷ δ’ ὁ πρῶτος καὶ τελευταῖος δραμών.
τέκμαρ τοιοῦτον σύμβολόν τε σοὶ λέγω
ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.
Χο.θεοῖς μὲν αὖθις, ὦ γύναι, προσεύξομαι.
λόγους δ’ ἀκοῦσαι τούσδε κἀποθαυμάσαι
διηνεκῶς θέλοιμ’ ἂν ὡς λέγεις πάλιν.
Κλ.Τροίαν Ἀχαιοὶ τῇδ’ ἔχους’ ἐν ἡμέρᾳ.
οἶμαι βοὴν ἄμεικτον ἐν πόλει πρέπειν.
ὄξος τ’ ἄλειφά τ’ ἐγχέας ταὐτῷ κύτει
διχοστατοῦντ’ ἂν οὐ φίλως προσεννέποις.
καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα
φθογγὰς ἀκούειν ἔστι συμφορᾶς διπλῆς.
οἱ μὲν γὰρ ἀμφὶ σώμασιν πεπτωκότες
ἀνδρῶν κασιγνήτων τε, καὶ φυταλμίων
παῖδες γερόντων, οὐκέτ’ ἐξ ἐλευθέρου
δέρης ἀποιμώζουσι φιλτάτων μόρον·
τοὺς δ’ αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος
νήστεις πρὸς ἀρίστοισιν ὧν ἔχει πόλις
τάσσει, πρὸς οὐδὲν ἐν μέρει τεκμήριον,
ἀλλ’ ὡς ἕκαστος ἔσπασεν τύχης πάλον.
ἐν αἰχμαλώτοις Τρωικοῖς οἰκήμασιν
ναίουσιν ἤδη, τῶν ὑπαιθρίων πάγων
δρόσων τ’ ἀπαλλαχθέντες· ὡς δ’ εὐδαίμονες
ἀφύλακτον εὑδήσουσι πᾶσαν εὐφρόνην.
εἰ δ’ εὐσεβοῦσι τοὺς πολισσούχους θεοὺς
τοὺς τῆς ἁλούσης γῆς θεῶν θ’ ἱδρύματα,
οὔ τἂν ἑλόντες ἀνθαλοῖεν ἄν.
ἔρως δὲ μή τις πρότερον ἐμπίπτῃ στρατῷ
πορθεῖν ἃ μὴ χρή, κέρδεσιν νικωμένους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας
340.5 κάμψαι διαύλου θάτερον κῶλον πάλιν·
345.1 θεοῖς δ’ ἀναμπλάκητος εἰ μόλοι στρατός,
345.2 ἐγρηγορὸς τὸ πῆμα τῶν ὀλωλότων
345.3 γένοιτ’ ἄν, εἰ πρόσπαιά πη τεύχοι κακά.
345.4 τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύεις·
345.5 τὸ δ’ εὖ κρατοίη, μὴ διχορρόπως ἰδεῖν.
unit_109.1 πολλῶν γὰρ ἐσθλῶν τήνδ’ ὄνησιν εἱλόμην.
unit_109.2 Χο.γύναι, κατ’ ἄνδρα σώφρον’ εὐφρόνως λέγεις.
unit_109.3 ἐγὼ δ’ ἀκούσας πιστά σου τεκμήρια
unit_109.4 θεοὺς προσειπεῖν αὖ παρασκευάζομαι.
unit_109.5 χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.
355.1 —ὦ Ζεῦ βασιλεῦ καὶ νὺξ φιλία
355.2 μεγάλων κόσμων κτεάτειρα,
355.3 ἥτ’ ἐπὶ Τροίας πύργοις ἔβαλες
355.4 στεγανὸν δίκτυον, ὡς μήτε μέγαν
355.5 μήτ’ οὖν νεαρῶν τιν’ ὑπερτελέσαι
360.1 μέγα δουλείας
360.2 γάγγαμον, ἄτης παναλώτου.
360.3 Δία τοι ξένιον μέγαν αἰδοῦμαι
360.4 τὸν τάδε πράξαντ’, ἐπ’ Ἀλεξάνδρῳ
unit_112 τείνοντα πάλαι τόξον, ὅπως ἂν
365.1 μήτε πρὸ καιροῦ μήθ’ ὑπὲρ ἄστρων
365.2 βέλος ἠλίθιον σκήψειεν.
366.1 —Διὸς πλαγὰν ἔχουσιν εἰπεῖν,[στρ. α.
366.2 πάρεστιν τοῦτό γ’ ἐξιχνεῦσαι.
366.3 ἔπραξεν ὡς ἔκρανεν. οὐκ ἔφα τις
370.1 θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν
370.2 ὅσοις ἀθίκτων χάρις
372-373 πατοῖθ’· ὁ δ’ οὐκ εὐσεβής.
374 πέφανται δ’ ἐγγονοῦσα τόλμη τῶν Ἄρη
375.1 πνεόντων μεῖζον ἢ δικαίως,
375.2 φλεόντων δωμάτων ὑπέρφευ
377-378 ὑπὲρ τὸ βέλτιστον. ἔστω δ’ ἀπή-
379 μαντον, ὥστ’ ἀπαρκεῖν
380 εὖ πραπίδων λαχόντι.
380.1 οὐ γὰρ ἔστιν ἔπαλξις
380.2 πλούτου πρὸς κόρον ἀνδρὶ
380.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λακτίσαντι μέγαν Δίκας
380.4 βωμὸν εἰς ἀφάνειαν.
385.1 βιᾶται δ’ ἁ τάλαινα πειθώ,[ἀντ. α.
385.2 προβούλου παῖς ἄφερτος ἄτας.
unit_124 ἄκος δὲ πᾶν μάταιον. οὐκ ἐκρύφθη,
388-389 πρέπει δέ, φῶς αἰνολαμπές, σίνος·
390.1 κακοῦ δὲ χαλκοῦ τρόπον
390.2 τρίβῳ τε καὶ προσβολαῖς
392-393 μελαμπαγὴς πέλει δικαιωθείς, ἐπεὶ
394-395 διώκει παῖς ποτανὸν ὄρνιν,
396 πόλει πρόστριμμα θεὶς ἄφερτον·
396.1 λιτᾶν δ’ ἀκούει μὲν οὔτις θεῶν·
396.2 τὸν δ’ ἐπίστροφον τῶν[δε]
396.3 φῶτ’ ἄδικον καθαιρεῖ.
398 οἷος καὶ Πάρις ἐλθὼν
unit_132.1 ἐς δόμον τὸν Ἀτρειδᾶν
unit_132.2 ᾔσχυνε ξενίαν τράπε-
unit_132.3 ζαν κλοπαῖσι γυναικός.
402.1 λιποῦσα δ’ ἀστοῖσιν ἀσπίστορας[στρ. β.
402.2 κλόνους λοχισμούς τε καὶ
405.1 ναυβάτας ὁπλισμούς,
405.2 ἄγουσά τ’ ἀντίφερνον Ἰλίῳ φθορὰν
405.3 βεβάκει ῥίμφα διὰ
405.4 πυλᾶν ἄτλητα τλᾶσα· πολλὰ δ’ ἔστενον
405.5 τόδ’ ἐννέποντες δόμων προφῆται·
410 ‘ἰὼ ἰὼ δῶμα δῶμα καὶ πρόμοι,
unit_136.1 ἰὼ λέχος καὶ στίβοι φιλάνορες.
unit_136.2 πάρεστι σιγᾶς ἄτιμος ἀλοίδορος
unit_136.3 ἄλιστος ἀφεμένων ἰδεῖν.
unit_136.4 πόθῳ δ’ ὑπερποντίας
415 φάσμα δόξει δόμων ἀνάσσειν.‘
415.1 εὐμόρφων δὲ κολοσσῶν
415.2 ἔχθεται χάρις ἀνδρί·
415.3 ὀμμάτων δ’ ἐν ἀχηνίαις
415.4 ἔρρει πᾶς’ Ἀφροδίτα.
420.1 ὀνειρόφαντοι δὲ πειθήμονες[ἀντ. β.
420.2 πάρεισι δόξαι φέρου-
420.3 σαι χάριν ματαίαν.
420.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μάταν γάρ, εὖτ’ ἂν ἐς θιγὰς δοκῶν ὁρᾷ,
παραλλάξασα διὰ
χερῶν βέβακεν ὄψις, οὐ μεθύστερον
πτεροῖς ὀπαδοῦς’ ὕπνου κελεύθοις.
τὰ μὲν κατ’ οἴκους ἐφ’ ἑστίας ἄχη
τάδ’ ἐστὶ καὶ τῶνδ’ ὑπερβατώτερα.
τὸ πᾶν δ’ ἀπ’ αἴας Ἕλλαδος συνορμένοις
πένθεια τλησικάρδιος
δόμῳ ’ν ἑκάστου πρέπει.
πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ·
οὓς μὲν γάρ 〈τισ〉 ἔπεμψεν
οἶδεν, ἀντὶ δὲ φωτῶν
τεύχη καὶ σποδὸς εἰς ἑκά-
στου δόμους ἀφικνεῖται.
ὁ χρυσαμοιβὸς δ’ Ἄρης σωμάτων[στρ. γ.
καὶ ταλαντοῦχος ἐν μάχῃ δορὸς
πυρωθὲν ἐξ Ἰλίου
φίλοισι πέμπει βαρὺ
ψῆγμα δυσδάκρυτον, ἀντ-
ήνορος σποδοῦ γεμί-
ζων λέβητας εὐθέτους.
στένουσι δ’ εὖ λέγοντες ἄν-
δρα τὸν μὲν ὡς μάχης ἴδρις,
τὸν δ’ ἐν φοναῖς καλῶς πεσόντ’— ‘ἀλ-
λοτρίας διαὶ γυναικόσ‘·
τάδε σῖγά τις βαΰζει·
φθονερὸν δ’ ὑπ’ ἄλγος ἕρπει
προδίκοις Ἀτρείδαις.
οἱ δ’ αὐτοῦ περὶ τεῖχος
θήκας Ἰλιάδος γᾶς
εὔμορφοι κατέχουσιν· ἐ-
χθρὰ δ’ ἔχοντας ἔκρυψεν.
βαρεῖα δ’ ἀστῶν φάτις ξὺν κότῳ·[ἀντ. γ.
δημοκράτου δ’ ἀρᾶς τίνει χρέος.
μένει δ’ ἀκοῦσαί τί μοι
μέριμνα νυκτηρεφές.
τῶν πολυκτόνων γὰρ οὐκ
ἄσκοποι θεοί. κελαι-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ναὶ δ’ Ἐρινύες χρόνῳ
460.5 τυχηρὸν ὄντ’ ἄνευ δίκας
465.1 παλιντυχεῖ τριβᾷ βίου
465.2 τιθεῖς’ ἀμαυρόν, ἐν δ’ ἀίστοις
465.3 τελέθοντος οὔτις ἀλκά·
465.4 τὸ δ’ ὑπερκόπως κλύειν εὖ
465.5 βαρύ· βάλλεται γὰρ ὄσσοις
470 Διόθεν κεραυνός.
470.1 κρίνω δ’ ἄφθονον ὄλβον·
470.2 μήτ’ εἴην πτολιπόρθης
470.3 μήτ’ οὖν αὐτὸς ἁλοὺς ὑπ’ ἄλ-
470.4 λων βίον κατίδοιμι.
475.1 —πυρὸς δ’ ὑπ’ εὐαγγέλου[ἐπῳδ.
475.2 πόλιν διήκει θοὰ
475.3 βάξις· εἰ δ’ ἐτήτυμος,
475.4 τίς οἶδεν, ἤ τι θεῖόν ἐστί πῃ ψύθος.
478 —τίς ὧδε παιδνὸς ἢ φρενῶν κεκομμένος,
480.1 φλογὸς παραγγέλμασιν
480.2 νέοις πυρωθέντα καρδίαν ἔπειτ’
unit_159.1 ἀλλαγᾷ λόγου καμεῖν;
unit_159.2 —γυναικὸς αἰχμᾷ πρέπει
unit_159.3 πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι.
485.1 πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται
485.2 ταχύπορος· ἀλλὰ ταχύμορον
485.3 γυναικογήρυτον ὄλλυται κλέος.
489 Χο.τάχ’ εἰσόμεσθα λαμπάδων φαεσφόρων
490.1 φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγάς,
490.2 εἴτ’ οὖν ἀληθεῖς, εἴτ’ ὀνειράτων δίκην
490.3 τερπνὸν τόδ’ ἐλθὸν φῶς ἐφήλωσεν φρένας.
490.4 κήρυκ’ ἀπ’ ἀκτῆς τόνδ’ ὁρῶ κατάσκιον
490.5 κλάδοις ἐλαίας· μαρτυρεῖ δέ μοι κάσις
495.1 πηλοῦ ξύνουρος διψία κόνις τάδε,
495.2 ὡς οὐκ ἄναυδος οὔτος, οὐ δαίων φλόγα
495.3 ὕλης ὀρείας, σημανεῖ καπνῷ πυρός,
495.4 ἀλλ’ ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων—
495.5 τὸν ἀντίον δὲ τοῖσδ’ ἀποστέργω λόγον·
unit_164 εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι.
unit_165.1 —ὅστις τάδ’ ἄλλως τῇδ’ ἐπεύχεται πόλει,
unit_165.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν.
ΚΗΡΥΞ
ἰὼ πατρῷον οὖδας Ἀργείας χθονός,
δεκάτῳ σε φέγγει τῷδ’ ἀφικόμην ἔτους,
πολλῶν ῥαγεισῶν ἐλπίδων μιᾶς τυχών.
οὐ γάρ ποτ’ ηὔχουν τῇδ’ ἐν Ἀργείᾳ χθονὶ
θανὼν μεθέξειν φιλτάτου τάφου μέρος.
νῦν χαῖρε μὲν χθών, χαῖρε δ’ ἡλίου φάος,
ὕπατός τε χώρας Ζεύς, ὁ Πύθιός τ’ ἄναξ,
τόξοις ἰάπτων μηκέτ’ εἰς ἡμᾶς βέλη·
ἅλις παρὰ Σκάμανδρον ἦσθ’ ἀνάρσιος,
νῦν δ’ αὖτε σωτὴρ ἴσθι καὶ παιώνιος,
ἄναξ Ἄπολλον. τούς τ’ ἀγωνίους θεοὺς
πάντας προσαυδῶ, τόν τ’ ἐμὸν τιμάορον
Ἑρμῆν, φίλον κήρυκα, κηρύκων σέβας,
ἥρως τε τοὺς πέμψαντας, εὐμενεῖς πάλιν
στρατὸν δέχεσθαι τὸν λελειμμένον δορός.
ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι,
σεμνοί τε θᾶκοι, δαίμονές τ’ ἀντήλιοι,
εἴ που πάλαι, φαιδροῖσι τοισίδ’ ὄμμασι
δέξασθε κόσμῳ βασιλέα πολλῷ χρόνῳ.
ἥκει γὰρ ὑμῖν φῶς ἐν εὐφρόνῃ φέρων
καὶ τοῖσδ’ ἅπασι κοινὸν Ἀγαμέμνων ἄναξ.
ἀλλ’ εὖ νιν ἀσπάσασθε, καὶ γὰρ οὖν πρέπει,
Τροίαν κατασκάψαντα τοῦ δικηφόρου
Διὸς μακέλλῃ, τῇ κατείργασται πέδον.
βωμοὶ δ’ ἄιστοι καὶ θεῶν ἱδρύματα,
καὶ σπέρμα πάσης ἐξαπόλλυται χθονός.
τοιόνδε Τροίᾳ περιβαλὼν ζευκτήριον
ἄναξ Ἀτρείδης πρέσβυς, εὐδαίμων ἀνήρ,
ἥκει, τίεσθαι δ’ ἀξιώτατος βροτῶν
τῶν νῦν· Πάρις γὰρ οὔτε συντελὴς πόλις
ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον.
ὀφλὼν γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην
τοῦ ῥυσίου θ’ ἥμαρτε καὶ πανώλεθρον
αὐτόχθονον πατρῷον ἔθρισεν δόμον.
διπλᾶ δ’ ἔτεισαν Πριαμίδαι θἀμάρτια.
Χο.κῆρυξ Ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ.

Κη.χαίρω, τεθνᾶναι δ’ οὐκέτ’ ἀντερῶ θεοῖς.
540.1 Χο.ἔρως πατρῴας τῆσδε γῆς ς’ ἐγύμνασεν;
540.2 Κη.ὥστ’ ἐνδακρύειν γ’ ὄμμασιν χαρᾶς ὕπο.
540.3 Χο.τερπνῆς ἄρ’ ἦστε τῆσδ’ ἐπήβολοι νόσου,
540.4 Κη.πῶς δή; διδαχθεὶς τοῦδε δεσπόσω λόγου.
540.5 Χο.τῶν ἀντερώντων ἱμέρῳ πεπληγμένοι.
545.1 Κη.ποθεῖν ποθοῦντα τήνδε γῆν στρατὸν λέγεις;
545.2 Χο.ὡς πόλλ’ ἀμαυρᾶς ἐκ φρενός 〈μ’〉 ἀναστένειν.
545.3 Κη.πόθεν τὸ δύσφρον; τοῦτ’ ἐπῆν στύγος στρατῷ;
545.4 Χο.πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω.
545.5 Κη.καὶ πῶς; ἀπόντων κοιράνων ἔτρεις τινάς;
unit_178.1 Χο.ὡς νῦν τὸ σὸν δή, καὶ θανεῖν πολλὴ χάρις.
unit_178.2 Κη.εὖ γὰρ πέπρακται. ταῦτα δ’ ἐν πολλῷ χρόνῳ
unit_178.3 τὰ μέν τις ἂν λέξειεν εὐπετῶς ἔχειν,
unit_178.4 τὰ δ’ αὖτε κἀπίμομφα. τίς δὲ πλὴν θεῶν
unit_178.5 ἅπαντ’ ἀπήμων τὸν δι’ αἰῶνος χρόνον;
555.1 μόχθους γὰρ εἰ λέγοιμι καὶ δυσαυλίας,
555.2 σπαρνὰς παρήξεις καὶ κακοστρώτους—τί δ’ οὐ
555.3 στένοντες, οὐ λαχόντες ἤματος μέρος;
unit_180.1 τὰ δ’ αὖτε χέρσῳ· καὶ προσῆν πλέον στύγος·
unit_180.2 εὐναὶ γὰρ ἦσαν δηΐων πρὸς τείχεσιν,
560.1 ἐξ οὐρανοῦ δὲ κἀπὸ γῆς λειμωνίας
560.2 δρόσοι κατεψάκαζον, ἔμπεδον σίνος
560.3 ἐσθημάτων, τιθέντες ἔνθηρον τρίχα.
560.4 χειμῶνα δ’ εἰ λέγοι τις οἰωνοκτόνον,
560.5 οἷον παρεῖχ’ ἄφερτον Ἰδαία χιών,
565.1 ἢ θάλπος, εὖτε πόντος ἐν μεσημβριναῖς
565.2 κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσών—
565.3 τί ταῦτα πενθεῖν δεῖ; παροίχεται πόνος·
565.4 παροίχεται δέ, τοῖσι μὲν τεθνηκόσιν
565.5 τὸ μήποτ’ αὖθις μηδ’ ἀναστῆναι μέλειν—
570.1 τί τοὺς ἀναλωθέντας ἐν ψήφῳ λέγειν,
570.2 τὸν ζῶντα δ’ ἀλγεῖν χρὴ τύχης παλιγκότου;
570.3 καὶ πολλὰ χαίρειν ξυμφοραῖς καταξιῶ.
570.4 ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείων στρατοῦ
570.5 νικᾷ τὸ κέρδος, πῆμα δ’ οὐκ ἀντιρρέπει·
575.1 ὡς κομπάσαι τῷδ’ εἰκὸς ἡλίου φάει
575.2 ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτωμένοις·
575.3

‘Τροίαν ἑλόντες δήποτ’ Ἀργείων στόλος
θεοῖς λάφυρα ταῦτα τοῖς καθ’ Ἑλλάδα
δόμοις ἐπασσάλευσαν ἀρχαῖον γάνος.‘
τοιαῦτα χρὴ κλύοντας εὐλογεῖν πόλιν
καὶ τοὺς στρατηγούς· καὶ χάρις τιμήσεται
Διὸς τάδ’ ἐκπράξασα. πάντ’ ἔχεις λόγον.
Χο.νικώμενος λόγοισιν οὐκ ἀναίνομαι·
ἀεὶ γὰρ ἥβη τοῖς γέρουσιν εὐμαθεῖν.
δόμοις δὲ ταῦτα καὶ Κλυταιμήστρᾳ μέλειν
εἰκὸς μάλιστα, σὺν δὲ πλουτίζειν ἐμέ.
Κλ.ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο,
ὅτ’ ἦλθ’ ὁ πρῶτος νύχιος ἄγγελος πυρός,
φράζων ἅλωσιν Ἰλίου τ’ ἀνάστασιν.
καί τίς μ’ ἐνίπτων εἶπε, ‘φρυκτωρῶν διὰ
πεισθεῖσα Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς;
ἦ κάρτα πρὸς γυναικὸς αἴρεσθαι κέαρ.‘
λόγοις τοιούτοις πλαγκτὸς οὖς’ ἐφαινόμην.
ὅμως δ’ ἔθυον, καὶ γυναικείῳ νόμῳ
ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν
ἔλασκον εὐφημοῦντες ἐν θεῶν ἕδραις,
θυηφάγον κοιμῶντες εὐώδη φλόγα.
καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σέ μοι λέγειν;
ἄνακτος αὐτοῦ πάντα πεύσομαι λόγον.
ὅπως δ’ ἄριστα τὸν ἐμὸν αἰδοῖον πόσιν
σπεύσω πάλιν μολόντα δέξασθαι—τί γὰρ
γυναικὶ τούτου φέγγος ἥδιον δρακεῖν,
ἀπὸ στρατείας ἄνδρα σώσαντος θεοῦ
πύλας ἀνοῖξαι; —ταῦτ’ ἀπάγγειλον πόσει·
ἥκειν ὅπως τάχιστ’ ἐράσμιον πόλει·
γυναῖκα πιστὴν δ’ ἐν δόμοις εὕροι μολὼν
οἵανπερ οὖν ἔλειπε, δωμάτων κύνα,
ἐσθλὴν ἐκείνῳ, πολεμίαν τοῖς δύσφροσιν,
καὶ τἄλλ’ ὁμοίαν πάντα, σημαντήριον
οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνου.
οὐδ’ οἶδα τέρψιν οὐδ’ ἐπίψογον φάτιν
ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφάς.
τοιόσδ’ ὁ κόμπος, τῆς ἀληθείας γέμων,
οὐκ αἰσχρὸς ὡς γυναικὶ γενναίᾳ λακεῖν.

Χο.αὕτη μὲν οὕτως εἶπε μανθάνοντί σοι
τοροῖσιν ἑρμηνεῦσιν εὐπρεπῶς λόγον.
σὺ δ’ εἰπέ, κῆρυξ, Μενέλεων δὲ πεύθομαι,
εἰ νόστιμός τε καὶ σεσῳμένος πάλιν
ἥξει σὺν ὑμῖν, τῆσδε γῆς φίλον κράτος.
Κη.οὐκ ἔσθ’ ὅπως λέξαιμι τὰ ψευδῆ καλὰ
ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον.
Χο.πῶς δῆτ’ ἂν εἰπὼν κεδνὰ τἀληθῆ τύχοις;
σχισθέντα δ’ οὐκ εὔκρυπτα γίγνεται τάδε.
Κη.ἀνὴρ ἄφαντος ἐξ Ἀχαιικοῦ στρατοῦ,
αὐτός τε καὶ τὸ πλοῖον. οὐ ψευδῆ λέγω.
Χο.πότερον ἀναχθεὶς ἐμφανῶς ἐξ Ἰλίου,
ἢ χεῖμα, κοινὸν ἄχθος, ἥρπασε στρατοῦ;
Κη.ἔκυρσας ὥστε τοξότης ἄκρος σκοποῦ·
μακρὸν δὲ πῆμα συντόμως ἐφημίσω.
Χο.πότερα γὰρ αὐτοῦ ζῶντος ἢ τεθνηκότος
φάτις πρὸς ἄλλων ναυτίλων ἐκλῄζετο;
Κη.οὐκ οἶδεν οὐδεὶς ὥστ’ ἀπαγγεῖλαι τορῶς,
πλὴν τοῦ τρέφοντος Ἡλίου χθονὸς φύσιν.
Χο.πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ
ἐλθεῖν τελευτῆσαί τε δαιμόνων κότῳ;
Κη.εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλῳ
γλώσσῃ μιαίνειν· χωρὶς ἡ τιμὴ θεῶν.
ὅταν δ’ ἀπευκτὰ πήματ’ ἄγγελος πόλει
στυγνῷ προσώπῳ πτωσίμου στρατοῦ φέρῃ,
πόλει μὲν ἕλκος ἓν τὸ δήμιον τυχεῖν,
πολλοὺς δὲ πολλῶν ἐξαγισθέντας δόμων
ἄνδρας διπλῇ μάστιγι, τὴν Ἄρης φιλεῖ,
δίλογχον ἄτην, φοινίαν ξυνωρίδα·
τοιῶνδε μέντοι πημάτων σεσαγμένον
πρέπει λέγειν παιᾶνα τόνδ’ Ἐρινύων.
σωτηρίων δὲ πραγμάτων εὐάγγελον
ἥκοντα πρὸς χαίρουσαν εὐεστοῖ πόλιν—
πῶς κεδνὰ τοῖς κακοῖσι συμμείξω, λέγων
χειμῶν’ Ἀχαιῶν οὐκ ἀμήνιτον θεοῖς;
ξυνώμοσαν γάρ, ὄντες ἔχθιστοι τὸ πρίν,
πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ’ ἐδειξάτην
φθείροντε τὸν δύστηνον Ἀργείων στρατόν·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν νυκτὶ δυσκύμαντα δ’ ὠρώρει κακά.
ναῦς γὰρ πρὸς ἀλλήλῃσι Θρῄκιαι πνοαὶ
ἤρεικον· αἵ δὲ κεροτυπούμεναι βίᾳ
χειμῶνι τυφῶ σὺν ζάλῃ τ’ ὀμβροκτύπῳ
ᾤχοντ’ ἄφαντοι, ποιμένος κακοῦ στρόβῳ.
ἐπεὶ δ’ ἀνῆλθε λαμπρὸν ἡλίου φάος,
ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς
ἀνδρῶν Ἀχαιῶν ναυτικοῖς τ’ ἐρειπίοις.
ἡμᾶς γε μὲν δὴ ναῦν τ’ ἀκήρατον σκάφος
ἤτοι τις ἐξέκλεψεν ἢ ’ξῃτήσατο
θεός τις, οὐκ ἄνθρωπος, οἴακος θιγών.
τύχη δὲ σωτὴρ ναῦν θέλουσ’ ἐφέζετο,
ὡς μήτ’ ἐν ὅρμῳ κύματος ζάλην ἔχειν
μήτ’ ἐξοκεῖλαι πρὸς κραταίλεων χθόνα.
ἔπειτα δ’ Ἅιδην πόντιον πεφευγότες,
λευκὸν κατ’ ἦμαρ, οὐ πεποιθότες τύχῃ,
ἐβουκολοῦμεν φροντίσιν νέον πάθος,
στρατοῦ καμόντος καὶ κακῶς σποδουμένου.
καὶ νῦν ἐκείνων εἴ τις ἐστὶν ἐμπνέων,
λέγουσιν ἡμᾶς ὡς ὀλωλότας, τί μήν;
ἡμεῖς τ’ ἐκείνους ταὔτ’ ἔχειν δοξάζομεν.
γένοιτο δ’ ὡς ἄριστα. Μενέλεων γὰρ οὖν
. . . . . . .
πρῶτόν τε καὶ μάλιστα προσδόκα μέλειν·
εἰ δ’ οὖν τις ἀκτὶς ἡλίου νιν ἱστορεῖ
χλωρόν τε καὶ βλέποντα, μηχαναῖς Διὸς
οὔπω θέλοντος ἐξαναλῶσαι γένος,
ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν.
τοσαῦτ’ ἀκούσας ἴσθι τἀληθῆ κλυών.
Χο.τίς ποτ’ ὠνόμαξεν ὧδ’[στρ. α.
ἐς τὸ πᾶν ἐτητύμως—
μή τις ὅντιν’ οὐχ ὁρῶ-
μεν προνοί-
αισι τοῦ πεπρωμένου
γλῶσσαν ἐν τύχᾳ νέμων; —τὰν
δορίγαμβρον ἀμφινεικῆ
θ’ Ἑλέναν; ἐπεὶ πρεπόντως
ἑλένας, ἕλανδρος, ἑλέ-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πτολις, ἐκ τῶν ἁβροπήνων
προκαλυμμάτων ἔπλευσε
Ζεφύρου γίγαντος αὔρᾳ,
πολύανδροί
τε φεράσπιδες κυναγοὶ
κατ’ ἴχνος πλατᾶν ἄφαντον
κελσάντων Σιμόεντος
ἀκτὰς ἐπ’ ἀεξιφύλλους
δι’ ἔριν αἱματόεσσαν.
Ἰλίῳ δὲ κῆδος ὀρθ-[ἀντ. α.
ώνυμον τελεσσίφρων
μῆνις ἤλασεν, τραπέ-
ζας ἀτί-
μωσιν ὑστέρῳ χρόνῳ
καὶ ξυνεστίου Διὸς πρασ-
σομένα τὸ νυμφότιμον
μέλος ἐκφάτως τίοντας,
ὑμέναιον, ὃς τότ’ ἐπέρ-
ρεπε γαμβροῖσιν ἀείδειν.
μεταμανθάνουσα δ’ ὕμνον
Πριάμου πόλις γεραιὰ
πολύθρηνον
μέγα που στένει κικλήσκους’
Ἄπαριν τὸν αἰνόλεκτρον,
παμπορθῆ πολύθρηνον
αἰῶν’ ἀμφὶ πολιτᾶν
μέλεον αἷμ’ ἀνατλᾶσα.
ἔθρεψεν δὲ λέοντος ἶ-[στρ. β.
νιν δόμοις ἀγάλακτον οὕ-
τως ἀνὴρ φιλόμαστον,
ἐν βιότου προτελείοις
ἅμερον, εὐφιλόπαιδα
καὶ γεραροῖς ἐπίχαρτον.
πολέα δ’ ἔσκ’ ἐν ἀγκάλαις
νεοτρόφου τέκνου δίκαν,
φαιδρωπὸς ποτὶ χεῖρα σαί-
νων τε γαστρὸς ἀνάγκαις.
χρονισθεὶς δ’ ἀπέδειξεν ἦ-[ἀντ. β.

θος τὸ πρὸς τοκέων· χάριν
726.3 γὰρ τροφεῦσιν ἀμείβων
730.1 μηλοφόνοισι μάταισιν
730.2 δαῖτ’ ἀκέλευστος ἔτευξεν,
730.3 αἵματι δ’ οἶκος ἐφύρθη,
730.4 ἄμαχον ἄλγος οἰκέταις,
730.5 μέγα σίνος πολυκτόνον.
735.1 ἐκ θεοῦ δ’ ἱερεύς τις ἄ-
735.2 τας δόμοις προσεθρέφθη.
738.1 πάραυτα δ’ ἐλθεῖν ἐς Ἰλίου πόλιν[στρ. γ.
738.2 λέγοιμ’ ἂν φρόνημα μὲν
740.1 νηνέμου γαλάνας,
740.2 ἀκασκαῖον 〈τ’〉 ἄγαλμα πλούτου,
740.3 μαλθακὸν ὀμμάτων βέλος,
740.4 δηξίθυμον ἔρωτος ἄνθος.
740.5 παρακλίνας’ ἐπέκρανεν
745.1 δὲ γάμου πικρὰς τελευτάς,
745.2 δύσεδρος καὶ δυσόμιλος
unit_232.1 συμένα Πριαμίδαισιν,
unit_232.2 πομπᾷ Διὸς ξενίου,
unit_232.3 νυμφόκλαυτος Ἐρινύς.
unit_233.1 παλαίφατος δ’ ἐν βροτοῖς γέρων λόγος[ἀντ. γ.
unit_233.2 τέτυκται, μέγαν τελε-
unit_233.3 σθέντα φωτὸς ὄλβον
753-754 τεκνοῦσθαι μηδ’ ἄπαιδα θνῄσκειν,
755.1 ἐκ δ’ ἀγαθᾶς τύχας γένει
755.2 βλαστάνειν ἀκόρεστον οἰζύν.
755.3 δίχα δ’ ἄλλων μονόφρων εἰ-
755.4 μί. τὸ δυσσεβὲς γὰρ ἔργον
755.5 μετὰ μὲν πλείονα τίκτει,
760.1 σφετέρᾳ δ’ εἰκότα γέννᾳ.
760.2 οἴκων γὰρ εὐθυδίκων
760.3 καλλίπαις πότμος ἀεί.
762.1 φιλεῖ δὲ τίκτειν Ὕβρις[στρ. δ.
762.2 μὲν παλαιὰ νεά-
765.1 ζουσαν ἐν κακοῖς βροτῶν
765.2 Ὕβριν τότ’ ἢ τόθ’, ὅτε τὸ κύριον μόλῃ
767-768 φάος τόκου, δαίμονά τ’ ἔταν,
769

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄμαχον ἀπόλεμον ἀνίερον,
770.1 Θράσος, μελαίνα μελάθροισιν Ἄτα,
770.2 εἰδομένα τοκεῦσιν.
773.1 Δίκα δὲ λάμπει μὲν ἐν[ἀντ. δ.
773.2 δυσκάπνοις δώμασιν,
775.1 τόν τ’ ἐναίσιμον τίει [βίον].
775.2 τὰ χρυσόπαστα δ’ ἕδεθλα σὺν πίνῳ χερῶν
775.3 παλιντρόποις ὄμμασι λιποῦς’,
778-779 ὅσια προσέβατο δύναμιν οὐ
780.1 σέβουσα πλούτου παράσημον αἴνῳ·
780.2 πᾶν δ’ ἐπὶ τέρμα νωμᾷ.
781.1 —ἄγε, δή, βασιλεῦ, Τροίας πτολίπορθ’,
781.2 Ἀτρέως γένεθλον,
784-785 πῶς σε προσείπω; πῶς σε σεβίξω
786.1 μήθ’ ὑπεράρας μήθ’ ὑποκάμψας
786.2 καιρὸν χάριτος;
786.3 πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι
786.4 προτίουσι δίκην παραβάντες.
790.1 τῷ δυσπραγοῦντί τ’ ἐπιστενάχειν
790.2 πᾶς τις ἑτοῖμος· δῆγμα δὲ λύπης
790.3 οὐδὲν ἐφ’ ἧπαρ προσικνεῖται·
790.4 καὶ ξυγχαίρουσιν ὁμοιοπρεπεῖς,
790.5 ἀγέλαστα πρόσωπα βιαζόμενοι
794 . . . . . .
795.1 ὅστις δ’ ἀγαθὸς προβατογνώμων,
795.2 οὐκ ἔστι λαθεῖν ὄμματα φωτός
795.3 τὰ δοκοῦντ’ εὔφρονος ἐκ διανοίας
795.4 ὑδαρεῖ σαίνειν φιλότητι.
795.5 σὺ δέ μοι τότε μὲν στέλλων στρατιὰν
unit_252.1 Ἑλένης ἕνεκ’, οὐ γάρ 〈σ’〉 ἐπικεύσω,
unit_252.2 κάρτ’ ἀπομούσως ἦσθα γεγραμμένος,
unit_253.1 οὐδ’ εὖ πραπίδων οἴακα νέμων,
unit_253.2 θάρσος ἑκούσιον
unit_253.3 ἀνδράσι θνῄσκουσι κομίζων.
805.1 νῦν δ’ οὐκ ἀπ’ ἄκρας φρενὸς οὐδ’ ἀφίλως
805.2 εὔφρων πόνος εὖ τελέσασιν.
805.3 γνώσῃ δὲ χρόνῳ διαπευθόμενος
805.4 τόν τε δικαίως καὶ τὸν ἀκαίρως
805.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πόλιν οἰκουροῦντα πολιτῶν.

ΑΓΑΜΕΜΝΩΝ

πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους
δίκη προσειπεῖν, τοὺς ἐμοὶ μεταιτίους
νόστου δικαίων θ’ ὧν ἐπραξάμην πόλιν
Πριάμου· δίκας γὰρ οὐκ ἀπὸ γλώσσης θεοὶ
κλυόντες ἀνδροθνῆτας Ἰλιοφθόρους
εἰς αἱματηρὸν τεῦχος οὐ διχορρόπως
ψήφους ἔθεντο· τῷ δ’ ἐναντίῳ κύτει
ἐλπὶς προσῄει χειρὸς οὐ πληρουμένῳ.
καπνῷ δ’ ἁλοῦσα νῦν ἔτ’ εὔσημος πόλις.
ἄτης θύελλαι ζῶσι· συνθνῄσκουσα δὲ
σποδὸς προπέμπει πίονας πλούτου πνοάς.
τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν
τίνειν, ἐπείπερ χἀρπαγὰς ὑπερκόπους
ἐπραξάμεσθα καὶ γυναικὸς οὕνεκα
πόλιν διημάθυνεν Ἀργεῖον δάκος,
ἵππου νεοσσός, ἀσπιδηφόρος λεώς,
πήδημ’ ὀρούσας ἀμφὶ Πλειάδων δύσιν·
ὑπερθορὼν δὲ πύργον ὠμηστὴς λέων
ἄδην ἔλειξεν αἵματος τυραννικοῦ.
θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε·
τὰ δ’ ἐς τὸ σὸν φρόνημα, μέμνημαι κλυών,
καὶ φημὶ ταὐτὰ καὶ συνήγορόν μ’ ἔχεις.
παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε,
φίλον τὸν εὐτυχοῦντ’ ἄνευ φθόνων σέβειν.
δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος
ἄχθος διπλοίζει τῷ πεπαμένῳ νόσον·
τοῖς τ’ αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται
καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν στένει.
εἰδὼς λέγοιμ’ ἄν· εὖ γὰρ ἐξεπίσταμαι
ὁμιλίας κάτοπτρον, εἴδωλον σκιᾶς,
δοκοῦντας εἶναι κάρτα πρευμενεῖς ἐμοί.
μόνος δ’ Ὀδυσσεύς, ὅσπερ οὐχ ἑκὼν ἔπλει,
ζευχθεὶς ἑτοῖμος ἦν ἐμοὶ σειραφόρος,
εἴτ’ οὖν θανόντος εἴτε καὶ ζῶντος πέρι
λέγω. τὰ δ’ ἄλλα πρὸς πόλιν τε καὶ θεοὺς
κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει

βουλευσόμεσθα. καὶ τὸ μὲν καλῶς ἔχον
845.3 ὅπως χρονίζον εὖ μενεῖ βουλευτέον·
845.4 ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων,
845.5 ἤτοι κέαντες ἢ τεμόντες εὐφρόνως
unit_264.1 πειρασόμεσθα πῆμ’ ἀποστρέψαι νόσου.
unit_264.2 νῦν δ’ ἐς μέλαθρα καὶ δόμους ἐφεστίους
unit_264.3 ἐλθὼν θεοῖσι πρῶτα δεξιώσομαι,
unit_264.4 οἵπερ πρόσω πέμψαντες ἤγαγον πάλιν.
unit_265 νίκη δ’ ἐπείπερ ἕσπετ’ ἐμπέδως μένοι.
855.1 Κλ.ἄνδρες πολῖται, πρέσβος Ἀργείων τόδε,
855.2 οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους
855.3 λέξαι πρὸς ὑμᾶς· ἐν χρόνῳ δ’ ἀποφθίνει
855.4 τὸ τάρβος ἀνθρώποισιν. οὐκ ἄλλων πάρα
855.5 μαθοῦσ’, ἐμαυτῆς δύσφορον λέξω βίον
860.1 τοσόνδ’ ὅσονπερ οὗτος ἦν ὑπ’ Ἰλίῳ.
860.2 τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα
860.3 ἧσθαι δόμοις ἔρημον ἔκπαγλον κακόν,
860.4 πολλὰς κλύουσαν κληδόνας παλιγκότους·
860.5 καὶ τὸν μὲν ἥκειν, τὸν δ’ ἐπεσφέρειν κακοῦ
865.1 κάκιον ἄλλο, πῆμα λάσκοντας δόμοις.
865.2 καὶ τραυμάτων μὲν εἰ τόσων ἐτύγχανεν
865.3 ἀνὴρ ὅδ’, ὡς πρὸς οἶκον ὠχετεύετο
865.4 φάτις, τέτρηται δικτύου πλέω λέγειν.
865.5 εἰ δ’ ἦν τεθνηκώς, ὡς ἐπλήθυον λόγοι,
870.1 τρισώματός τἄν, Γηρυὼν ὁ δεύτερος,
870.2 [πολλὴν ἄνωθεν, τὴν κάτω γὰρ οὐ λέγω,]
870.3 χθονὸς τρίμοιρον χλαῖναν ἐξηύχει λαβεῖν,
870.4 ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι.
870.5 τοιῶνδ’ ἕκατι κληδόνων παλιγκότων
875.1 πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης
875.2 ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης.
875.3 ἐκ τῶνδέ τοι παῖς ἐνθάδ’ οὐ παραστατεῖ,
875.4 ἐμῶν τε καὶ σῶν κύριος πιστωμάτων,
875.5 ὡς χρῆν, Ὀρέστης· μηδὲ θαυμάσῃς τόδε.
880.1 τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος
880.2 Στροφίος ὁ Φωκεύς, ἀμφίλεκτα πήματα
unit_272.1 ἐμοὶ προφωνῶν, τόν θ’ ὑπ’ Ἰλίῳ σέθεν
unit_272.2 κίνδυνον, εἴ τε δημόθρους ἀναρχία
unit_272.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βουλὴν καταρρίψειεν, ὥς τε σύγγονον
βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον.
τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει.
ἔμοιγε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι
πηγαὶ κατεσβήκασιν, οὐδ’ ἔνι σταγών.
ἐν ὀψικοίτοις δ’ ὄμμασιν βλάβας ἔχω
τὰς ἀμφί σοι κλαίουσα λαμπτηρουχίας
ἀτημελήτους αἰέν. ἐν δ’ ὀνείρασιν
λεπταῖς ὑπαὶ κώνωπος ἐξηγειρόμην
ῥιπαῖσι θωύσσοντος, ἀμφί σοι πάθη
ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου.
νῦν ταῦτα πάντα τλᾶς’, ἀπενθήτῳ φρενὶ
λέγοιμ’ ἂν ἄνδρα τόνδε τῶν σταθμῶν κύνα,
σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης
στῦλον ποδήρη, μονογενὲς τέκνον πατρί,
καὶ γῆν φανεῖσαν ναυτίλοις παρ’ ἐλπίδα,
κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος,
ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος.
τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν.
τοιοῖσδέ τοί νιν ἀξιῶ προσφθέγμασιν.
φθόνος δ’ ἀπέστω. πολλὰ γὰρ τὰ πρὶν κακὰ
ἠνειχόμεσθα. νῦν δέ μοι, φίλον κάρα,
ἔκβαιν’ ἀπήνης τῆσδε, μὴ χαμαὶ τιθεὶς
τὸν σὸν πόδ’, ὦναξ, Ἰλίου πορθήτορα.
δμῳαί, τί μέλλεθ’, αἷς ἐπέσταλται τέλος
πέδον κελεύθου στορνύναι πετάσμασιν;
εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος
ἐς δῶμ’ ἄελπτον ὡς ἂν ἡγῆται Δίκη.
τὰ δ’ ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη
θήσει—δικαίως σὺν θεοῖς εἱμαρμένα.
Αγ.Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ,
ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ·
μακρὰν γὰρ ἐξέτεινας· ἀλλ’ ἐναισίμως
αἰνεῖν, παρ’ ἄλλων χρὴ τόδ’ ἔρχεσθαι γέρας.
καὶ τἄλλα μὴ γυναικὸς ἐν τρόποις ἐμὲ
ἅβρυνε, μηδὲ βαρβάρου φωτὸς δίκην
χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοί,
μηδ’ εἵμασι στρώσας’ ἐπίφθονον πόρον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τίθει· θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών·
920.4 ἐν ποικίλοις δὲ θνητὸν ὄντα κάλλεσιν
920.5 βαίνειν ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου.
925.1 λέγω κατ’ ἄνδρα, μὴ θεόν, σέβειν ἐμέ.
925.2 χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων
925.3 κληδὼν ἀυτεῖ· καὶ τὸ μὴ κακῶς φρονεῖν
925.4 θεοῦ μέγιστον δῶρον. ὀλβίσαι δὲ χρὴ
925.5 βίον τελευτήσαντ’ ἐν εὐεστοῖ φίλῃ.
930.1 εἰ πάντα δ’ ὣς πράσσοιμ’ ἄν, εὐθαρσὴς ἐγώ.
930.2 Κλ.καὶ μὴν τόδ’ εἰπὲ μὴ παρὰ γνώμην ἐμοί.
930.3 Αγ.γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ’ ἐμέ.
930.4 Κλ.ηὔξω θεοῖς δείσας ἂν ὧδ’ ἔρδειν τάδε;
930.5 Αγ.εἴπερ τις, εἰδώς γ’ εὖ τόδ’ ἐξεῖπον τέλος.
935.1 Κλ.τί δ’ ἂν δοκεῖ σοι Πρίαμος, εἰ τάδ’ ἤνυσεν;
935.2 Αγ.ἐν ποικίλοις ἂν κάρτα μοι βῆναι δοκεῖ.
unit_285.1 Κλ.μή νυν τὸν ἀνθρώπειον αἰδεσθῇς ψόγον.
unit_285.2 Αγ.φήμη γε μέντοι δημόθρους μέγα σθένει.
unit_285.3 Κλ.ὁ δ’ ἀφθόνητός γ’ οὐκ ἐπίζηλος πέλει.
940.1 Αγ.οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης.
940.2 Κλ.τοῖς δ’ ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει.
940.3 Αγ.ἦ καὶ σὺ νίκην τήνδε δήριος τίεις;
940.4 Κλ.πιθοῦ· κρατεῖς μέντοι παρεὶς ἑκὼν ἐμοί.
940.5 Αγ.ἀλλ’ εἰ δοκεῖ σοι ταῦθ’, ὑπαί τις ἀρβύλας
945.1 λύοι τάχος, πρόδουλον ἔμβασιν ποδός.
945.2 καὶ τοῖσδέ μ’ ἐμβαίνονθ’ ἁλουργέσιν θεῶν
945.3 μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος.
945.4 πολλὴ γὰρ αἰδὼς δωματοφθορεῖν ποσὶν
945.5 φύροντα πλοῦτον ἀργυρωνήτους θ’ ὑφάς.
unit_288.1 τούτων μὲν οὕτω· τὴν ξένην δὲ πρευμενῶς
unit_288.2 τήνδ’ ἐσκόμιζε· τὸν κρατοῦντα μαλθακῶς
unit_288.3 θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται.
unit_288.4 ἑκὼν γὰρ οὐδεὶς δουλίῳ χρῆται ζυγῷ.
unit_288.5 αὕτη δὲ πολλῶν χρημάτων ἐξαίρετον
955.1 ἄνθος, στρατοῦ δώρημ’, ἐμοὶ ξυνέσπετο.
955.2 ἐπεὶ δ’ ἀκούειν σοῦ κατέστραμμαι τάδε,
955.3 εἶμ’ ἐς δόμων μέλαθρα πορφύρας πατῶν.
955.4 Κλ.ἔστιν θάλασσα—τίς δέ νιν κατασβέσει; —
955.5 τρέφουσα πολλῆς πορφύρας ἰσάργυρον
960.1

κηκῖδα παγκαίνιστον, εἱμάτων βαφάς.
960.2 οἶκος δ’ ὑπάρχει τῶνδε σὺν θεοῖς, ἄναξ,
960.3 ἔχειν· πένεσθαι δ’ οὐκ ἐπίσταται δόμος.
960.4 πολλῶν πατησμὸν δ’ εἱμάτων ἂν ηὐξάμην,
unit_291 δόμοισι προυνεχθέντος ἐν χρηστηρίοις,
965.1 ψυχῆς κόμιστρα τῆσδε μηχανωμένη.
965.2 ῥίζης γὰρ οὔσης φυλλὰς ἵκετ’ ἐς δόμους,
965.3 σκιὰν ὑπερτείνασα σειρίου κυνός.
965.4 καὶ σοῦ μολόντος δωματῖτιν ἑστίαν,
965.5 θάλπος μὲν ἐν χειμῶνι σημαίνει μολόν·
970.1 ὅταν δὲ τεύχῃ Ζεὺς ἀπ’ ὄμφακος πικρᾶς
970.2 οἶνον, τότ’ ἤδη ψῦχος ἐν δόμοις πέλει,
970.3 ἀνδρὸς τελείου δῶμ’ ἐπιστρωφωμένου.
970.4 Ζεῦ Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει·
970.5 μέλοι δέ τοι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν.
975.1 Χο.τίπτε μοι τόδ’ ἐμπέδως[στρ. α.
975.2 δεῖμα προστατήριον
975.3 καρδίας τερασκόπου
975.4 πωτᾶται,
975.5 μαντιπολεῖ δ’ ἀκέλευστος ἄμισθος ἀοιδά,
980.1 οὐδ’ ἀποπτύσαι δίκαν
980.2 δυσκρίτων ὀνειράτων
980.3 θάρσος εὐπειθὲς ἵ-
982.1 ζει φρενὸς φίλον θρόνον;
982.2 χρόνος δ’ ἐπεὶ
982.3 πρυμνησίων ξυνεμβολαῖς
985.1 ψαμμίας ἀκάτα παρή-
985.2 βησεν, εὖθ’ ὑπ’ Ἴλιον
985.3 ὦρτο ναυβάτας στρατός.
987.1 πεύθομαι δ’ ἀπ’ ὀμμάτων[ἀντ. α.
987.2 νόστον, αὐτόμαρτυς ὤν·
990.1 τὸν δ’ ἄνευ λύρας ὅμως
990.2 ὑμνῳδεῖ
990.3 θρῆνον Ἐρινύος αὐτοδίδακτος ἔσωθεν
990.4 θυμός, οὐ τὸ πᾶν ἔχων
990.5 ἐλπίδος φίλον θράσος.
995.1 σπλάγχνα δ’ οὔτοι ματᾴ-
995.2 ζει, πρὸς ἐνδίκοις φρεσὶν
996.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τελεσφόροις
996.2 δίναις κυκλούμενον κέαρ.
996.3 εὔχομαι δ’ ἐξ ἐμᾶς
996.4 ἐλπίδος ψύθη πεσεῖν
unit_302 ἐς τὸ μὴ τελεσφόρον.
unit_303.1 μάλα γάρ τοι τᾶς πολλᾶς [στρ. β.
unit_303.2 ὑγιείας ἀκόρεστον
unit_303.3 τέρμα. νόσος γὰρ
unit_303.4 γείτων ὁμότοιχος ἐρείδει,
1005.1 καὶ πότμος εὐθυπορῶν
1005.2 . . . . .
1005.3 ἀνδρὸς ἔπαισεν ἄφαντον ἕρμα.
1005.4 καὶ πρὸ μέν τι χρημάτων
1005.5 κτησίων ὄκνος βαλὼν
1010.1 σφενδόνας ἀπ’ εὐμέτρου—
1010.2 οὐκ ἔδυ πρόπας δόμος
1010.3 πλησμονᾶς γέμων ἄγαν,
1010.4 οὐδ’ ἐπόντισε σκάφος.
1010.5 πολλά τοι δόσις ἐκ Διὸς ἀμφιλα-
1015.1 φής τε καὶ ἐξ ἀλόκων ἐπετειᾶν
1015.2 νῆστιν ὤλεσεν νόσον,
1018.1 τὸ δ’ ἐπὶ γᾶν πεσὸν ἅπαξ[ἀντ. β.
1018.2 θανάσιμον πρόπαρ ἀνδρὸς
1020.1 μέλαν αἷμα τίς ἂν
1020.2 πάλιν ἀγκαλέσαιτ’ ἐπαείδων;
1020.3 οὐδὲ τὸν ὀρθοδαῆ
1020.4 τῶν φθιμένων ἀνάγειν
1020.5 Ζεὺς ἀπέπαυσεν ἐπ’ ἀβλαβείᾳ.
1025.1 εἰ δὲ μὴ τεταγμένα
1025.2 μοῖρα μοῖραν ἐκ θεῶν
1025.3 εἶργε μὴ πλέον φέρειν,
1025.4 προφθάσασα καρδία
1025.5 γλῶσσαν ἂν τάδ’ ἐξέχει.
1030.1 νῦν δ’ ὑπὸ σκότῳ βρέμει
1030.2 θυμαλγής τε καὶ οὐδὲν ἐπελπομέ-
1030.3 να ποτὲ καίριον ἐκτολυπεύσειν
1030.4 ζωπυρουμένας φρενός.
1035.1 Κλ.εἴσω κομίζου καὶ σύ, Κασσάνδραν λέγω·
1035.2

ἐπεί ς’ ἔθηκε Ζεὺς ἀμηνίτως δόμοις
unit_312.1 κοινωνὸν εἶναι χερνίβων, πολλῶν μέτα
unit_312.2 δούλων σταθεῖσαν κτησίου βωμοῦ πέλας,
unit_312.3 ἔκβαιν’ ἀπήνης τῆσδε, μηδ’ ὑπερφρόνει.
1040.1 καὶ παῖδα γάρ τοι φασὶν Ἀλκμήνης ποτε
1040.2 πραθέντα τλῆναι, δουλίας μάζης βίᾳ.
1040.3 εἰ δ’ οὖν ἀνάγκη τῆσδ’ ἐπιρρέποι τύχης,
1040.4 ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις.
1040.5 οἳ δ’ οὔποτ’ ἐλπίσαντες ἤμησαν καλῶς,
1045.1 ὠμοί τε δούλοις πάντα καὶ πέρα σταθμῶν.
1045.2 ἔχεις παρ’ ἡμῶν οἷάπερ νομίζεται.
1045.3 Χο.σοί τοι λέγουσα παύεται σαφῆ λόγον.
1045.4 ἐντὸς δ’ ἁλοῦσα μορσίμων ἀγρευμάτων
1045.5 πείθοι’ ἄν, εἰ πείθοι’· ἀπειθοίης δ’ ἴσως.
unit_315.1 Κλ.ἀλλ’ εἴπερ ἐστὶ μὴ χελιδόνος δίκην
unit_315.2 ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη,
unit_315.3 ἔσω φρενῶν λέγουσα πείθω νιν λόγῳ.
unit_315.4 Χο.ἕπου. τὰ λῷστα τῶν παρεστώτων λέγει.
unit_315.5 πείθου λιποῦσα τόνδ’ ἁμαξήρη θρόνον.
1055.1 Κλ.οὔτοι θυραίᾳ τῇδ’ ἐμοὶ σχολὴ πάρα
1055.2 τρίβειν· τὰ μὲν γὰρ ἑστίας μεσομφάλου
1055.3 ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πάρος.
1055.4 [ὡς οὔποτ’ ἐλπίσασι τήνδ’ ἕξειν χάριν.]
1055.5 σὺ δ’ εἴ τι δράσεις τῶνδε, μὴ σχολὴν τίθει.
1060 εἰ δ’ ἀξυνήμων οὖσα μὴ δέχῃ λόγον—
unit_318.1 σὺ δ’ ἀντὶ φωνῆς φράζε καρβάνῳ χερί.
unit_318.2 Χο.ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ
unit_318.3 δεῖσθαι. τρόπος δὲ θηρὸς ὡς νεαιρέτου.
unit_318.4 Κλ.ἦ μαίνεταί γε καὶ κακῶν κλύει φρενῶν,
1065.1 ἥτις λιποῦσα μὲν πόλιν νεαίρετον
1065.2 ἥκει, χαλινὸν δ’ οὐκ ἐπίσταται φέρειν
1065.3 πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος.
1065.4 οὐ μὴν πλέω ῥίψας’ ἀτιμασθήσομαι.
1065.5 Χο.ἐγὼ δ’, ἐποικτίρω γάρ, οὐ θυμώσομαι.
1070.1 ἴθ’, ὦ τάλαινα, τόνδ’ ἐρημώσας’ ὄχον,
1070.2 εἴκους’ ἀνάγκῃ τῇδε καίνισον ζυγόν.
1071 ΚΑΣΣΑΝΔΡΑ
1072.1 ὀτοτοτοτοῖ πόποι δᾶ.[στρ. α.
1072.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὤπολλον ὤπολλον.
1072.3 Χο.τί ταῦτ’ ἀνωτότυξας ἀμφὶ Λοξίου;
1075 οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν.
1075.1 Κα.ὀτοτοτοτοῖ πόποι δᾶ.[ἀντ. α.
1075.2 ὤπολλον ὤπολλον.
1075.3 Χο.ἥδ’ αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ
1075.4 οὐδὲν προσήκοντ’ ἐν γόοις παραστατεῖν.
1080.1 Κα.Ἄπολλον· Ἄπολλον·[στρ. β.
1080.2 ἀγυιᾶτ’, ἀπόλλων ἐμός.
1080.3 ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον.
1080.4 Χο.χρήσειν ἔοικεν ἀμφὶ τῶν αὑτῆς κακῶν.
unit_326 μένει τὸ θεῖον δουλίᾳ περ ἐν φρενί.
1085.1 Κα.Ἄπολλον· Ἄπολλον·[ἀντ. β.
1085.2 ἀγυιᾶτ’, ἀπόλλων ἐμός.
1085.3 ἆ ποῖ ποτ’ ἤγαγές με; πρὸς ποίαν στέγην;
1085.4 Χο.πρὸς τὴν Ἀτρειδῶν· εἰ σὺ μὴ τόδ’ ἐννοεῖς,
1085.5 ἐγὼ λέγω σοι· καὶ τάδ’ οὐκ ἐρεῖς ψύθη.
1090.1 Κα.μισόθεον μὲν οὖν· πολλὰ συνίστορα,[στρ. γ.
1090.2 αὐτόφονα, κακὰ καρτάναι
1090.3 ἀνδρὸς σφαγεῖον καὶ πέδον ῥαντήριον.
1090.4 Χο.ἔοικεν εὖρις ἡ ξένη κυνὸς δίκην
1090.5 εἶναι, ματεύει δ’ ὧν ἀνευρήσει φόνον.
1095.1 Κα.μαρτυρίοισι γὰρ τοῖσδ’ ἐπιπείθομαι·[ἀντ. γ.
1095.2 κλαιόμενα τάδε βρέφη σφαγὰς
1095.3 ὀπτάς τε σάρκας πρὸς πατρὸς βεβρωμένας.
1095.4 Χο. ἦ μὴν κλέος σοῦ μαντικὸν πεπυσμένοι
1095.5 ἦμεν· προφήτας δ’ οὔτινας ματεύομεν.
unit_330.1 Κα.ἰὼ πόποι, τί ποτε μήδεται;[στρ. δ.
unit_330.2 τί τόδε νέον ἄχος μέγα;
unit_330.3 μέγ’ ἐν δόμοισι τοῖσδε μήδεται κακόν,
unit_330.4 ἄφερτον φίλοισιν, δυσίατον· ἀλκὰ δ’
unit_331 ἑκὰς ἀποστατεῖ.
1105.1 Χο.τούτων ἄιδρίς εἰμι τῶν μαντευμάτων.
1105.2 ἐκεῖνα δ’ ἔγνων· πᾶσα γὰρ πόλις βοᾷ.
1106.1 Κα.ἰὼ τάλαινα, τόδε γὰρ τελεῖς;[ἀντ. δ.
1106.2 τὸν ὁμοδέμνιον πόσιν
1106.3 λουτροῖσι φαιδρύνασα—πῶς φράσω τέλος;
1110.1 τάχος γὰρ τόδ’ ἔσται· προτείνει δὲ χεὶρ ἐκ
1110.2

χερὸς ὀρεγομένα.
1110.3 Χο.οὔπω ξυνῆκα· νῦν γὰρ ἐξ αἰνιγμάτων
1110.4 ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ.
1113 Κα.ἒ ἕ, παπαῖ παπαῖ, τί τόδε φαίνεται;[στρ. ε.
1115.1 ἦ δίκτυόν τί γ’ Ἅιδου.
1115.2 ἀλλ’ ἄρκυς ἡ ξύνευνος, ἡ ξυναιτία
1115.3 φόνου. στάσις δ’ ἀκόρετος γένει
1115.4 κατολολυξάτω θύματος λευσίμου.
1115.5 Χο.ποίαν Ἐρινὺν τήνδε δώμασιν κέλῃ
1120.1 ἐπορθιάζειν; οὔ με φαιδρύνει λόγος.
1120.2 ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς
1120.3 σταγών, ἅτε καὶ δορὶ πτωσίμοις
1120.4 ξυνανύτει βίου δύντος αὐγαῖς.
1120.5 ταχεῖα δ’ ἄτα πέλει.
1125.1 Κα.ἆ ἆ, ἰδοὺ ἰδού· ἄπεχε τῆς βοὸς[ἀντ. ε.
1125.2 τὸν ταῦρον· ἐν πέπλοισιν
1125.3 μελαγκέρῳ λαβοῦσα μηχανήματι
unit_339.1 τύπτει· πίτνει δ’ 〈ἐν〉 ἐνύδρῳ τεύχει.
unit_339.2 δολοφόνου λέβητος τύχαν σοι λέγω.
1130.1 Χο.οὐ κομπάσαιμ’ ἂν θεσφάτων γνώμων ἄκρος
1130.2 εἶναι, κακῷ δέ τῳ προσεικάζω τάδε.
1130.3 ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὰ φάτις
1130.4 βροτοῖς τέλλεται; κακῶν γὰρ διαὶ
1130.5 πολυεπεῖς τέχναι θεσπιῳδοὶ
1135 φόβον φέρουσιν μαθεῖν.
1135.1 Κα.ἰὼ ἰὼ ταλαίνας κακόποτμοι τύχαι·[στρ. ζ.
1135.2 τὸ γὰρ ἐμὸν θροῶ πάθος ἐπεγχέασα.
1135.3 ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες;
1135.4 οὐδέν ποτ’ εἰ μὴ ξυνθανουμένην. τί γάρ;
1140.1 Χο.φρενομανής τις εἶ θεοφόρητος, ἀμ-
1140.2 φὶ δ’ αὑτᾶς θροεῖς
1140.3 νόμον ἄνομον, οἷά τις ξουθὰ
1140.4 ἀκόρετος βοᾶς, φεῦ, φιλοίκτοις φρεσὶν
1140.5 Ἴτυν Ἴτυν στένους’ ἀμφιθαλῆ κακοῖς
1145 ἀηδὼν βίον.
1145.1 Κα.ἰὼ ἰὼ λιγείας μόρον ἀηδόνος·[ἀντ. ζ.
1145.2 πτεροφόρον γάρ οἱ περὶ δέμας βάλοντο
1145.3 θεοὶ γλυκύν τ’ ἀγῶνα κλαυμάτων ἄτερ·
1145.4

ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορί.
Χο.πόθεν ἐπισσύτους θεοφόρους [τ’] ἔχεις
ματαίους δύας;
τὰ δ’ ἐπίφοβα δυσφάτῳ κλαγγᾷ
μελοτυπεῖς ὁμοῦ τ’ ὀρθίοις ἐν νόμοις.
πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ
κακορρήμονας;
Κα.ἰὼ γάμοι, γάμοι Πάριδος,[στρ. η.
ὀλέθριοι φίλων.
ἰὼ Σκαμάνδρου πάτριον ποτόν.
τότε μὲν ἀμφὶ σὰς ἀιόνας τάλαιν’
ἠνυτόμαν τροφαῖς·
νῦν δ’ ἀμφὶ Κωκυτόν τε κἀχερουσίους
ὄχθους ἔοικα θεσπιῳδήσειν τάχα.
Χο.τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω;
νεογνὸς ἂν ἀΐων μάθοι.
πέπληγμαι δ’ ὑπ’ αὖ δήγματι φοινίῳ
δυσαλγεῖ τύχᾳ μινυρὰ θρεομένας,
θραύματ’ ἐμοὶ κλύειν.
Κα.ἰὼ πόνοι πόνοι πόλεος[ἀντ. η.
ὀλομένας τὸ πᾶν.
ἰὼ πρόπυργοι θυσίαι πατρὸς
πολυκανεῖς βοτῶν ποιονόμων· ἄκος δ’
οὐδὲν ἐπήρκεσαν
τὸ μὴ πόλιν μὲν ὥσπερ οὖν ἐχρῆν παθεῖν,
ἐγὼ δὲ θερμόνους τάχ’ ἐν πέδῳ βαλῶ.
Χο.ἑπόμενα προτέροισι τάδ’ ἐφημίσω.
καί τίς σε κακοφρονῶν τίθη-
σι δαίμων ὑπερβαρὴς ἐμπίτνων
μελίζειν πάθη γοερὰ θανατοφόρα.
τέρμα δ’ ἀμηχανῶ.
Κα.καὶ μὴν ὁ χρησμὸς οὐκέτ’ ἐκ καλυμμάτων
ἔσται δεδορκὼς νεογάμου νύμφης δίκην·
λαμπρὸς δ’ ἔοικεν ἡλίου πρὸς ἀντολὰς
πνέων ἐσᾴξειν, ὥστε κύματος δίκην
κλύζειν πρὸς αὐγάς, τοῦδε πήματος πολὺ
μεῖζον· φρενώσω δ’ οὐκέτ’ ἐξ αἰνιγμάτων.
καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων.
τὴν γὰρ στέγην τήνδ’ οὔποτ’ ἐκλείπει χορὸς
σύμφθογγος οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει.
καὶ μὴν πεπωκώς γ’, ὡς θρασύνεσθαι πλέον,
βρότειον αἷμα κῶμος ἐν δόμοις μένει,
δύσπεμπτος ἔξω, συγγόνων Ἐρινύων.
ὑμνοῦσι δ’ ὕμνον δώμασιν προσήμεναι
πρώταρχον ἄτης· ἐν μέρει δ’ ἀπέπτυσαν
εὐνὰς ἀδελφοῦ τῷ πατοῦντι δυσμενεῖς.
ἥμαρτον, ἢ κυρῶ τι τοξότης τις ὥς;
ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων;
ἐκμαρτύρησον προυμόσας τό μ’ εἰδέναι
λόγῳ παλαιὰς τῶνδ’ ἁμαρτίας δόμων.
Χο.καὶ πῶς ἂν ὅρκου πῆγμα, γενναίως παγέν,
παιώνιον γένοιτο; θαυμάζω δέ σου,
πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν
κυρεῖν λέγουσαν, ὥσπερ εἰ παρεστάτεις.
Κα.μάντις μ’ Ἀπόλλων τῷδ’ ἐπέστησεν τέλει.
Χο.μῶν καὶ θεός περ ἱμέρῳ πεπληγμένος;
Κα.προτοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε.
Χο.ἁβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον.
Κα.ἀλλ’ ἦν παλαιστὴς κάρτ’ ἐμοὶ πνέων χάριν.
Χο.ἦ καὶ τέκνων εἰς ἔργον ἤλθετον νόμῳ;
Κα.ξυναινέσασα Λοξίαν ἐψευσάμην.
Χο.ἤδη τέχναισιν ἐνθέοις ᾑρημένη;
Κα.ἤδη πολίταις πάντ’ ἐθέσπιζον πάθη.
Χο.πῶς δῆτ’ ἄνατος ἦσθα Λοξίου κότῳ;
Κα.ἔπειθον οὐδέν’ οὐδέν, ὡς τάδ’ ἤμπλακον.
Χο.ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.
Κα.ἰοὺ ἰού, ὢ ὢ κακά.
ὑπ’ αὖ με δεινὸς ὀρθομαντείας πόνος
στροβεῖ ταράσσων φροιμίοις .....
ὁρᾶτε τούσδε τοὺς δόμοις ἐφημένους
νέους, ὀνείρων προσφερεῖς μορφώμασιν;
παῖδες θανόντες ὡσπερεὶ πρὸς τῶν φίλων,
χεῖρας κρεῶν πλήθοντες οἰκείας βορᾶς·
σὺν ἐντέροις τε σπλάγχν’, ἐποίκτιστον γέμος,
πρέπους’ ἔχοντες, ὧν πατὴρ ἐγεύσατο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινά,
λέοντ’ ἄναλκιν, ἐν λέχει στρωφώμενον
οἰκουρόν, οἴμοι, τῷ μολόντι δεσπότῃ—
ἐμῷ· φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν·
νεῶν τ’ ἄπαρχος Ἰλίου τ’ ἀναστάτης
οὐκ οἶδεν οἵα γλῶσσα, μισητῆς κυνὸς
λείξασα κἀκτείνασα φαιδρὸν οὖς δίκην,
ἄτης λαθραίου τεύξεται κακῇ τύχῃ.
τοιάδε τόλμα· θῆλυς ἄρσενος φονεύς·
ἔστιν—τί νιν καλοῦσα δυσφιλὲς δάκος
τύχοιμ’ ἄν; ἀμφίσβαιναν, ἢ Σκύλλαν τινὰ
οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην,
θύουσαν Ἅιδου μητέρ’ ἄσπονδόν τ’ Ἄρη
φίλοις πνέουσαν; ὡς δ’ ἐπωλολύξατο
ἡ παντότολμος, ὥσπερ ἐν μάχης τροπῇ.
δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ.
καὶ τῶνδ’ ὅμοιον εἴ τι μὴ πείθω· τί γάρ;
τὸ μέλλον ἥξει. καὶ σύ μ’ ἐν τάχει παρὼν
ἄγαν γ’ ἀληθόμαντιν οἰκτίρας ἐρεῖς.
Χο.τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν
ξυνῆκα καὶ πέφρικα, καὶ φόβος μ’ ἔχει
κλύοντ’ ἀληθῶς οὐδὲν ἐξῃκασμένα.
τὰ δ’ ἄλλ’ ἀκούσας ἐκ δρόμου πεσὼν τρέχω.
Κα.Ἀγαμέμνονός σέ φημ’ ἐπόψεσθαι μόρον.
Χο.εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα.
Κα.ἀλλ’ οὔτι παιὼν τῷδ’ ἐπιστατεῖ λόγῳ.
Χο.οὔκ, εἴπερ ἔσται γ’· ἀλλὰ μὴ γένοιτό πως.
Κα.σὺ μὲν κατεύχῃ, τοῖς δ’ ἀποκτείνειν μέλει.
Χο.τίνος πρὸς ἀνδρὸς τοῦτ’ ἄχος πορσύνεται;
Κα.ἦ κάρτα χρησμῶν παρεκόπης ἐμῶν ἄρα.
Χο.τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανήν.
Κα.καὶ μὴν ἄγαν γ’ Ἕλλην’ ἐπίσταμαι φάτιν.
Χο.καὶ γὰρ τὰ πυθόκραντα· δυσμαθῆ δ’ ὅμως.
Κα.παπαῖ, οἷον τὸ πῦρ· ἐπέρχεται δέ μοι.
ὀτοτοῖ, Λύκει’ Ἄπολλον, οἳ ἐγὼ ἐγώ.
αὕτη δίπους λέαινα συγκοιμωμένη
λύκῳ, λέοντος εὐγενοῦς ἀπουσίᾳ,
κτενεῖ με τὴν τάλαιναν· ὡς δὲ φάρμακον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσει ποτῷ·
1260.3 ἐπεύχεται, θήγουσα φωτὶ φάσγανον,
1260.4 ἐμῆς ἀγωγῆς ἀντιτείσεσθαι φόνον.
1260.5 τί δῆτ’ ἐμαυτῆς καταγέλωτ’ ἔχω τάδε,
1265.1 καὶ σκῆπτρα καὶ μαντεῖα περὶ δέρῃ στέφη;
1265.2 σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ.
1265.3 ἴτ’ ἐς φθόρον· πεσόντα γ’ ὧδ’ ἀμείβομαι.
1265.4 ἄλλην τιν’ Ἄτην ἀντ’ ἐμοῦ πλουτίζετε.
1265.5 ἰδοὺ δ’, Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ
1270.1 χρηστηρίαν ἐσθῆτ’, ἐποπτεύσας δέ με
1270.2 κἀν τοῖσδε κόσμοις καταγελωμένην μετὰ
1270.3 φίλων ὑπ’ ἐχθρῶν οὐ διχορρόπως μάτην.
unit_380.1 κακουμένη δέ, φοιτὰς ὡς ἀγύρτρια,
unit_380.2 πτωχὸς τάλαινα λιμοθνὴς ἠνεσχόμην·
1275.1 καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ
1275.2 ἀπήγαγ’ ἐς τοιάσδε θανασίμους τύχας.
1275.3 βωμοῦ πατρῴου δ’ ἀντ’ ἐπίξηνον μένει,
1275.4 θερμῷ κοπείσης φοίνιον προσφάγματι.
1275.5 οὐ μὴν ἄτιμοί γ’ ἐκ θεῶν τεθνήξομεν.
1280.1 ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,
1280.2 μητροκτόνον φίτυμα, ποινάτωρ πατρός·
1280.3 φυγὰς δ’ ἀλήτης τῆσδε γῆς ἀπόξενος
1280.4 κάτεισιν, ἄτας τάσδε θριγκώσων φίλοις·
1290 ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας,
1284 ἄξειν νιν ὑπτίασμα κειμένου πατρός.
1285.1 τί δῆτ’ ἐγὼ κάτοικτος ὧδ’ ἀναστένω;
1285.2 ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν
1285.3 πράξασαν ὡς ἔπραξεν, οἳ δ’ εἷλον πόλιν
1285.4 οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει.
1285.5 ἰοῦσα πράξω· τλήσομαι τὸ κατθανεῖν.
1291.1 Ἅιδου πύλας δὲ τάσδ’ ἐγὼ προσεννέπω·
1291.2 ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
1291.3 ὡς ἀσφάδᾳστος, αἱμάτων εὐθνησίμων
1291.4 ἀπορρυέντων, ὄμμα συμβάλω τόδε.
1295.1 Χο.ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ’ αὖ σοφὴ
1295.2 γύναι, μακρὰν ἔτεινας. εἰ δ’ ἐτητύμως
1295.3 μόρον τὸν αὑτῆς οἶσθα, πῶς θεηλάτου
unit_388.1 βοὸς δίκην πρὸς βωμὸν εὐτόλμως πατεῖς;
unit_388.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κα.οὐκ ἔστ’ ἄλυξις, οὔ, ξένοι, χρόνῳ πλέῳ.
Χο.ὁ δ’ ὕστατός γε τοῦ χρόνου πρεσβεύεται.
Κα.ἥκει τόδ’ ἦμαρ· σμικρὰ κερδανῶ φυγῇ.
Χο.ἀλλ’ ἴσθι τλήμων οὖς’ ἀπ’ εὐτόλμου φρενός.
Κα.οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων.
Χο.ἀλλ’ εὐκλεῶς τοι κατθανεῖν χάρις βροτῷ.
Κα.ἰὼ πάτερ σοῦ σῶν τε γενναίων τέκνων.
Χο.τί δ’ ἐστὶ χρῆμα; τίς ς’ ἀποστρέφει φόβος;
Κα.φεῦ φεῦ.
Χο.τί τοῦτ’ ἔφευξας; εἴ τι μὴ φρενῶν στύγος.
Κα.φόνον δόμοι πνέουσιν αἱματοσταγῆ.
Χο.καὶ πῶς; τόδ’ ὄζει θυμάτων ἐφεστίων.
Κα.ὅμοιος ἀτμὸς ὥσπερ ἐκ τάφου πρέπει.
Χο.οὐ Σύριον ἀγλάισμα δώμασιν λέγεις;
Κα.ἀλλ’ εἶμι κἀν δόμοισι κωκύσους’ ἐμὴν
Ἀγαμέμνονός τε μοῖραν. ἀρκείτω βίος.
ἰὼ ξένοι.
οὔτοι δυσοίζω, θάμνον ὡς ὄρνις, φόβῳ
ἄλλως· θανούσῃ μαρτυρεῖτέ μοι τόδε,
ὅταν γυνὴ γυναικὸς ἀντ’ ἐμοῦ θάνῃ,
ἀνήρ τε δυσδάμαρτος ἀντ’ ἀνδρὸς πέσῃ.
ἐπιξενοῦμαι ταῦτα δ’ ὡς θανουμένη.
Χο.ὦ τλῆμον, οἰκτίρω σε θεσφάτου μόρου.
Κα.ἅπαξ ἔτ’ εἰπεῖν ῥῆσιν, ἢ θρῆνον θέλω
ἐμὸν τὸν αὐτῆς. ἡλίου δ’ ἐπεύχομαι
πρὸς ὕστατον φῶς τοῖς ἐμοῖς τιμαόροις
ἐχθροὺς φόνευσιν τὴν ἐμὴν τίνειν ὁμοῦ,
δούλης θανούσης, εὐμαροῦς χειρώματος.
ἰὼ βρότεια πράγματ’· εὐτυχοῦντα μὲν
σκιᾷ τις ἂν πρέψειεν· εἰ δὲ δυστυχοῖ,
βολαῖς ὑγρώσσων σπόγγος ὤλεσεν γραφήν.
καὶ ταῦτ’ ἐκείνων μᾶλλον οἰκτίρω πολύ.
Χο.τὸ μὲν εὖ πράσσειν ἀκόρεστον ἔφυ
πᾶσι βροτοῖσιν· δακτυλοδείκτων δ’
οὔτις ἀπειπὼν εἴργει μελάθρων,
μηκέτ’ ἐσέλθῃς, τάδε φωνῶν.
καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν
μάκαρες Πριάμου·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θεοτίμητος δ’ οἴκαδ’ ἱκάνει·
1335.4 νῦν δ’ εἰ προτέρων αἷμ’ ἀποτείσει
1335.5 καὶ τοῖσι θανοῦσι θανὼν ἄλλων
1340.1 ποινὰς θανάτων ἐπικρανεῖ,
1340.2 τίς τἂν εὔξαιτο βροτῶν ἀσινεῖ
1340.3 δαίμονι φῦναι τάδ’ ἀκούων;
1342.1 Αγ.ὤμοι, πέπληγμαι καιρίαν πληγὴν ἔσω.
1342.2 Χο.σῖγα· τίς πληγὴν ἀυτεῖ καιρίως οὐτασμένος;
1345.1 Αγ.ὤμοι μάλ’ αὖθις, δευτέραν πεπληγμένος.
1345.2 Χο.τοὔργον εἰργάσθαι δοκεῖ μοι βασιλέως οἰμώγμασιν.
unit_402.1 ἀλλὰ κοινωσώμεθ’, ἤν πως, ἀσφαλῆ βουλεύματα.
unit_402.2 1.ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω,
unit_402.3 πρὸς δῶμα δεῦρ’ ἀστοῖσι κηρύσσειν βοήν.
unit_403.1 2.ἐμοὶ δ’ ὅπως τάχιστά γ’ ἐμπεσεῖν δοκεῖ
unit_403.2 καὶ πρᾶγμ’ ἐλέγχειν σὺν νεορρύτῳ ξίφει.
unit_403.3 3.κἀγὼ τοιούτου γνώματος κοινωνὸς ὢν
unit_403.4 ψηφίζομαί τι δρᾶν· τὸ μὴ μέλλειν δ’ ἀκμή.
unit_403.5 4.ὁρᾶν πάρεστι· φροιμιάζονται γὰρ ὥς,
1355.1 τυραννίδος σημεῖα πράσσοντες πόλει.
1355.2 5.χρονίζομεν γάρ. οἱ δὲ τῆς μελλοῦς κλέος
1355.3 πέδοι πατοῦντες οὐ καθεύδουσιν χερί.
1355.4 6.οὐκ οἶδα βουλῆς ἧστινος τυχὼν λέγω.
1355.5 τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεῦσαι πέρι.
1360.1 7.κἀγὼ τοιοῦτός εἰμ’, ἐπεὶ δυσμηχανῶ
1360.2 λόγοισι τὸν θανόντ’ ἀνιστάναι πάλιν.
1360.3 8.ἦ καὶ βίον τείνοντες ὧδ’ ὑπείξομεν
1360.4 δόμων καταισχυντῆρσι τοῖσδ’ ἡγουμένοις;
1360.5 9.ἀλλ’ οὐκ ἀνεκτόν, ἀλλὰ κατθανεῖν κρατεῖ·
1365.1 πεπαιτέρα γὰρ μοῖρα τῆς τυραννίδος.
1365.2 10.ἦ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων
1365.3 μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος;
1365.4 11.σάφ’ εἰδότας χρὴ τῶνδε θυμοῦσθαι πέρι·
1365.5 τὸ γὰρ τοπάζειν τοῦ σάφ’ εἰδέναι δίχα.
1370.1 12.ταύτην ἐπαινεῖν πάντοθεν πληθύνομαι,
1370.2 τρανῶς Ἀτρείδην εἰδέναι κυροῦνθ’ ὅπως.
1371 Κλ.πολλῶν πάροιθεν καιρίως εἰρημένων
unit_409.1 τἀναντί’ εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.
unit_409.2 πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις
1375.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δοκοῦσιν εἶναι, πημονῆς ἀρκύστατ’ ἂν
φράξειεν ὕψος κρεῖσσον ἐκπηδήματος;
ἐμοὶ δ’ ἀγὼν ὅδ’ οὐκ ἀφρόντιστος πάλαι·
νείκης παλαιᾶς ἦλθε, σὺν χρόνῳ γε μήν·
ἕστηκα δ’ ἔνθ’ ἔπαις’ ἐπ’ ἐξειργασμένοις.
οὕτω δ’ ἔπραξα—καὶ τάδ’ οὐκ ἀρνήσομαι—
ὡς μήτε φεύγειν μήτ’ ἀμύνεσθαι μόρον.
ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων,
περιστιχίζω, πλοῦτον εἵματος κακόν,
παίω δέ νιν δίς· κἀν δυοῖν οἰμωγμάτοιν
μεθῆκεν αὑτοῦ κῶλα· καὶ πεπτωκότι
τρίτην ἐπενδίδωμι, τοῦ κατὰ χθονός,
Ἅιδου, νεκρῶν σωτῆρος, εὐκταίαν χάριν.
οὕτω τὸν αὑτοῦ θυμὸν ὁρμαίνει πεσών,
κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν
βάλλει μ’ ἐρεμνῇ ψακάδι φοινίας δρόσου,
χαίρουσαν οὐδὲν ἧσσον ἢ διοσδότῳ
γάνει σπορητὸς κάλυκος ἐν λοχεύμασιν.
ὡς ὧδ’ ἐχόντων, πρέσβος Ἀργείων τόδε,
χαίροιτ’ ἄν, εἰ χαίροιτ’, ἐγὼ δ’ ἐπεύχομαι.
εἰ δ’ ἦν πρεπόντων ὥστ’ ἐπισπένδειν νεκρῷ,
τῷδ’ ἂν δικαίως ἦν, ὑπερδίκως μὲν οὖν·
τοσόνδε κρατῆρ’ ἐν δόμοις κακῶν ὅδε
πλήσας ἀραίων αὐτὸς ἐκπίνει μολών.
Χο.θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος,
ἥτις τοιόνδ’ ἐπ’ ἀνδρὶ κομπάζεις λόγον.
Κλ.πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος·
ἐγὼ δ’ ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας
λέγω—σὺ δ’ αἰνεῖν εἴτε με ψέγειν θέλεις
ὅμοιον—οὗτός ἐστιν Ἀγαμέμνων, ἐμὸς
πόσις, νεκρὸς δὲ τῆσδε δεξιᾶς χερός,
ἔργον δικαίας τέκτονος. τάδ’ ὧδ’ ἔχει.
Χο.τί κακόν, ὦ γύναι,[στρ.
χθονοτρεφὲς ἐδανὸν ἢ ποτὸν
πασαμένα ῥυτᾶς ἐξ ἁλὸς ὄρμενον
τόδ’ ἐπέθου θύος, δημοθρόους τ’ ἀράς;
ἀπέδικες ἀπέταμες, ἀπόπολις δ’ ἔσῃ,
μῖσος ὄβριμον ἀστοῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κλ.νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοί,
1410.4 καὶ μῖσος ἀστῶν δημόθρους τ’ ἔχειν ἀράς,
1410.5 οὐδὲν τότ’ ἀνδρὶ τῷδ’ ἐναντίον φέρων,
1415.1 ὃς οὐ προτιμῶν, ὡσπερεὶ βοτοῦ μόρον,
1415.2 μήλων φλεόντων εὐπόκοις νομεύμασιν,
1415.3 ἔθυσεν αὑτοῦ παῖδα, φιλτάτην ἐμοὶ
1415.4 ὠδῖν’, ἐπῳδὸν Θρῃκίων ἀημάτων.
1415.5 οὐ τοῦτον ἐκ γῆς τῆσδε χρῆν ς’ ἀνδρηλατεῖν,
1420.1 μιασμάτων ἄποινα; ἐπήκοος δ’ ἐμῶν
1420.2 ἔργων δικαστὴς τραχὺς εἶ. λέγω δέ σοι
1420.3 τοιαῦτ’ ἀπειλεῖν, ὡς παρεσκευασμένη
unit_423.1 ς’ ἐκ τῶν ὁμοίων χειρὶ νικήσαντ’ ἐμοῦ
unit_423.2 ἄρχειν· ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεός,
1425 γνώσῃ διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν.
1425 Χο.μεγαλόμητις εἶ,[ἀντ.
1426.1 περίφρονα δ’ ἔλακες, ὥσπερ οὖν
1426.2 φονολιβεῖ τύχᾳ φρὴν ἐπιμαίνεται·
1426.3 λίβος ἐπ’ ὀμμάτων αἵματος ἐμπρέπει·
1426.4 ἄντιτον ἔτι σε χρὴ στερομέναν φίλων
1430 τύμμα τύμματι τεῖσαι.
1430.1 Κλ.καὶ τήνδ’ ἀκούεις ὁρκίων ἐμῶν θέμιν·
1430.2 μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς Δίκην,
1430.3 Ἄτην Ἐρινύν θ’, αἷσι τόνδ’ ἔσφαξ’ ἐγώ,
1430.4 οὔ μοι Φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖ,
1435.1 ἕως ἂν αἴθῃ πῦρ ἐφ’ ἑστίας ἐμῆς
1435.2 Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί.
1435.3 οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ σμικρὰ θράσους.
1437.1 . . . . . . .
1437.2 κεῖται, γυναικὸς τῆσδε λυμαντήριος,
1437.3 Χρυσηίδων μείλιγμα τῶν ὑπ’ Ἰλίῳ·
1440.1 ἥ τ’ αἰχμάλωτος ἥδε καὶ τερασκόπος
1440.2 καὶ κοινόλεκτρος τοῦδε, θεσφατηλόγος
1440.3 πιστὴ ξύνευνος, ναυτίλων δὲ σελμάτων
1440.4 ἰσοτριβής. ἄτιμα δ’ οὐκ ἐπραξάτην.
1440.5 ὁ μὲν γὰρ οὕτως, ἡ δέ τοι κύκνου δίκην
1445.1 τὸν ὕστατον μέλψασα θανάσιμον γόον
1445.2 κεῖται φιλήτως τοῦδ’, ἐμοὶ δ’ ἐπήγαγεν
1445.3 εὐνῆς παροψώνημα τῆς ἐμῆς χλιδῇ.
1447.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Χο.φεῦ, τίς ἂν ἐν τάχει, μὴ περιώδυνος,[στρ. α.
1447.2 μηδὲ δεμνιοτήρης,
unit_434.1 μόλοι τὸν ἀεὶ φέρους’ ἐν ἡμῖν
unit_434.2 Μοῖρ’ ἀτέλευτον ὕπνον, δαμέντος
unit_434.3 φύλακος εὐμενεστάτου [καὶ]
unit_434.4 πολέα τλάντος γυναικὸς διαί; πρὸς γυναι-
unit_434.5 κὸς δ’ ἀπέφθισεν βίον.
1455.1 —ἰὼ ἰὼ παράνους ‘Ελένα[ἐφυμν. α
1455.2 μία τὰς πολλάς, τὰς πάνυ πολλὰς
1455.3 ψυχὰς ὀλέσας’ ὑπὸ Τροίᾳ,
1458-1459 νῦν τελέαν πολύμναστον ἐπηνθίσω
1460.1 δι’ αἷμ’ ἄνιπτον ἥτις ἦν τότ’ ἐν δόμοις
1460.2 ἔρις ἐρίδματος, ἀνδρὸς οἰζύς.
1461.1 Κλ.μηδὲν θανάτου μοῖραν ἐπεύχου
1461.2 τοῖσδε βαρυνθείς·
1461.3 μηδ’ εἰς ‘Ελένην κότον ἐκτρέψῃς,
1465.1 ὡς ἀνδρολέτειρ’, ὡς μία πολλῶν
1465.2 ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσας’
1465.3 ἀξύστατον ἄλγος ἔπραξε.
1467 Χο.δαῖμον, ὃς ἐμπίτνεις δώμασι καὶ διφυί-[ἀντ. α.
unit_441 οισι Τανταλίδαισιν,
1470.1 κράτος 〈τ’〉 ἰσόψυχον ἐκ γυναικῶν
1470.2 καρδιόδηκτον ἐμοὶ κρατύνεις,
1470.3 ἐπὶ δὲ σώματος δίκαν [μοι]
1470.4 κόρακος ἐχθροῦ σταθεὶς ἐννόμως ὕμνον ὑ-
1470.5 μνεῖν ἐπεύχεαι 〈κακόν〉.
1475.1 Κλ.νῦν δ’ ὤρθωσας στόματος γνώμην,
1475.2 τὸν τριπάχυντον
1475.3 δαίμονα γέννης τῆσδε κικλῄσκων.
1475.4 ἐκ τοῦ γὰρ ἔρως αἱματολοιχὸς
1475.5 νείρᾳ τρέφεται· πρὶν καταλῆξαι
1480 τὸ παλαιὸν ἄχος, νέος ἰχώρ.
1480.1 Χο.ἦ μέγαν οἴκοις τοῖσδε[στρ. β.
1480.2 δαίμονα καὶ βαρύμηνιν αἰνεῖς,
1480.3 φεῦ φεῦ, κακὸν αἶνον
1480.4 ἀτηρᾶς τύχας ἀκόρεστον·
1485.1 ἰὼ ἰὴ διαὶ Διὸς
1485.2 παναιτίου πανεργέτα·
1485.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται;
1485.4 τί τῶνδ’ οὐ θεόκραντόν ἐστιν;
1488 —ἰὼ ἰὼ βασιλεῦ βασιλεῦ,[ἐφυμν. β.
1490 πῶς σε δακρύσω;
unit_449.1 φρενὸς ἐκ φιλίας τί ποτ’ εἴπω;
unit_449.2 κεῖσαι δ’ ἀράχνης ἐν ὑφάσματι τῷδ’
unit_449.3 ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων,
unit_449.4 ὤμοι μοι, κοίταν τάνδ’ ἀνελεύθερον
1495.1 δολίῳ μόρῳ δαμεὶς 〈δάμαρτοσ〉
1495.2 ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.
1496.1 Κλ.αὐχεῖς εἶναι τόδε τοὔργον ἐμόν·
1496.2 μὴ δ’ ἐπιλεχθῇς
1496.3 Ἀγαμεμνονίαν εἶναί μ’ ἄλοχον.
unit_452.1 φανταζόμενος δὲ γυναικὶ νεκροῦ
unit_452.2 τοῦδ’ ὁ παλαιὸς δριμὺς ἀλάστωρ
unit_452.3 Ἀτρέως χαλεποῦ θοινατῆρος
unit_452.4 τόνδ’ ἀπέτεισεν,
unit_452.5 τέλεον νεαροῖς ἐπιθύσας.
1505.1 Χο.ὡς μὲν ἀναίτιος εἶ[ἀντ. β.
1505.2 τοῦδε φόνου τίς ὁ μαρτυρήσων;
1505.3 πῶ πῶ; πατρόθεν δὲ
1505.4 συλλήπτωρ γένοιτ’ ἂν ἀλάστωρ.
1505.5 βιάζεται δ’ ὁμοσπόροις
1510.1 ἐπιρροαῖσιν αἱμάτων
1510.2 μέλας Ἄρης, ὅποι δίκαν προβαίνων
1510.3 πάχνᾳ κουροβόρῳ παρέξει.
1512 —ἰὼ ἰὼ βασιλεῦ βασιλεῦ,[ἐφυμν. β.
unit_456 πῶς σε δακρύσω;
1515.1 φρενὸς ἐκ φιλίας τί ποτ’ εἴπω;
1515.2 κεῖσαι δ’ ἀράχνης ἐν ὑφάσματι τῷδ’
1515.3 ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων,
1515.4 ὤμοι μοι, κοίταν τάνδ’ ἀνελεύθερον
1515.5 δολίῳ μόρῳ δαμεὶς 〈δάμαρτοσ〉
1520 ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.
1520.1 Κλ.[οὔτ’ ἀνελεύθερον οἶμαι θάνατον
1520.2 τῷδε γενέσθαι.]
1522.1 οὐδὲ γὰρ οὗτος δολίαν ἄτην
1522.2 οἴκοισιν ἔθηκ’;
1525.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ’ ἐμὸν ἐκ τοῦδ’ ἔρνος ἀερθέν,
1525.2 τὴν πολύκλαυτόν τ’ Ἰφιγενείαν,
1525.3 ἄξια δράσας, ἄξια πάσχων,
1525.4 μηδὲν ἐν Ἅιδου μεγαλαυχείτω,
1525.5 ξιφοδηλήτῳ
1529 θανάτῳ τείσας ἅπερ ἔρξεν.
1530.1 Χο.ἀμηχανῶ φροντίδος στερηθεὶς[στρ. γ.
1530.2 εὐπάλαμον μέριμναν
1530.3 ὅπᾳ τράπωμαι, πίτνοντος οἴκου.
1530.4 δέδοικα δ’ ὄμβρου κτύπον δομοσφαλῆ
unit_464 τὸν αἱματηρόν. ψακὰς δὲ λήγει;
1535.1 δίκην [δ’] ἐπ’ ἄλλο πρᾶγμα θηγάνει βλάβης
1535.2 πρὸς ἄλλαις θηγάναισι Μοῖρα.
1536 —ἰὼ γᾶ γᾶ, εἴθ’ ἔμ’ ἐδέξω,[ἐφ. γ.
1538-1539 πρὶν τόνδ’ ἐπιδεῖν ἀργυροτοίχου
1540 δροίτης κατέχοντα χάμευναν.
1541-1542 τίς ὁ θάψων νιν; τίς ὁ θρηνήσων;
1543.1 ἦ σὺ τόδ’ ἔρξαι τλήσῃ, κτείνας’
1543.2 ἄνδρα τὸν αὑτῆς ἀποκωκῦσαι,
1545.1 ψυχῇ τ’ ἄχαριν χάριν ἀντ’ ἔργων
1545.2 μεγάλων ἀδίκως ἐπικρᾶναι;
1545.3 —τίς δ’ ἐπιτύμβιος αἶνον ἐπ’ ἀνδρὶ θείῳ
1548-1549 σὺν δακρύοις ἰάπτων
unit_473 ἀληθείᾳ φρενῶν πονήσει;
unit_474.1 Κλ.οὐ σὲ προσήκει τὸ μέλημ’ ἀλέγειν
unit_474.2 τοῦτο· πρὸς ἡμῶν
unit_474.3 κάππεσε, κάτθανε, καὶ καταθάψομεν
unit_474.4 οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκων,
1555.1 ἀλλ’ Ἰφιγένειά νιν ἀσπασίως
1555.2 θυγάτηρ, ὡς χρή,
1555.3 πατέρ’ ἀντιάσασα πρὸς ὠκύπορον
1555.4 πόρθμευμ’ ἀχέων
unit_476 περὶ χεῖρε βαλοῦσα φιλήσει.
1560.1 Χο.ὄνειδος ἥκει τόδ’ ἀντ’ ὀνείδους,[ἀντ. γ.
1560.2 δύσμαχα δ’ ἐστὶ κρῖναι.
1560.3 φέρει φέροντ’, ἐκτίνει δ’ ὁ καίνων.
1560.4 μίμνει δὲ μίμνοντος ἐν θρόνῳ Διὸς
1560.5 παθεῖν τὸν ἔρξαντα· θέσμιον γάρ.
1565.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τίς ἂν γονὰν ἀραῖον ἐκβάλοι δόμων;
1565.2 κεκόλληται γένος πρὸς ἄτᾳ.
1566.1 Κλ.ἐς τόνδ’ ἐνέβη σὺν ἀληθείᾳ
1566.2 χρησμός. ἐγὼ δ’ οὖν
1566.3 ἐθέλω δαίμονι τῷ Πλεισθενιδᾶν
1570.1 ὅρκους θεμένη τάδε μὲν στέργειν,
1570.2 δύστλητά περ ὄνθ’· ὃ δὲ λοιπόν, ἰόντ’
1570.3 ἐκ τῶνδε δόμων ἄλλην γενεὰν
1570.4 τρίβειν θανάτοις αὐθένταισι·
1570.5 κτεάνων δὲ μέρος
1575.1 βαιὸν ἐχούσῃ πᾶν ἀπόχρη μοι,
1575.2 μανίας μελάθρων
1576 ἀλληλοφόνους ἀφελούσῃ.
1576 ΑΙΓΙΣΘΟΣ
1577.1 ὦ φέγγος εὖφρον ἡμέρας δικηφόρου.
1577.2 φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους
1577.3 θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη,
1580 ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐρινύων
unit_486.1 τὸν ἄνδρα τόνδε κείμενον, φίλως ἐμοί,
unit_486.2 χερὸς πατρῴας ἐκτίνοντα μηχανάς.
unit_486.3 Ἀτρεὺς γὰρ ἄρχων τῆσδε γῆς, τούτου πατήρ,
unit_486.4 πατέρα Θυέστην τὸν ἐμόν, ὡς τορῶς φράσαι,
1585.1 αὑτοῦ δ’ ἀδελφόν, ἀμφίλεκτος ὢν κράτει,
1585.2 ἠνδρηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων.
1585.3 καὶ προστρόπαιος ἑστίας μολὼν πάλιν
1585.4 τλήμων Θυέστης μοῖραν ηὕρετ’ ἀσφαλῆ,
1585.5 τὸ μὴ θανὼν πατρῷον αἱμάξαι πέδον
1590.1 αὐτός· ξένια δὲ τοῦδε δύσθεος πατὴρ
1590.2 Ἀτρεύς, προθύμως μᾶλλον ἢ φίλως πατρὶ
1590.3 τὠμῷ, κρεουργὸν ἦμαρ εὐθύμως ἄγειν
1590.4 δοκῶν, παρέσχε δαῖτα παιδείων κρεῶν.
1590.5 τὰ μὲν ποδήρη καὶ χερῶν ἄκρους κτένας
1595.1 ἔθρυπτ’ ἄνωθεν ἀνδρακὰς καθημένοις
1595.2 ἄσημ’· ὁ δ’ αὐτῶν αὐτίκ’ ἀγνοίᾳ λαβὼν
1595.3 ἔσθει βορὰν ἄσωτον, ὡς ὁρᾷς, γένει.
1595.4 κἄπειτ’ ἐπιγνοὺς ἔργον οὐ καταίσιον
1595.5 ᾤμωξεν, ἀμπίπτει δ’ ἀπὸ σφαγὴν ἐρῶν,
unit_490.1 μόρον δ’ ἄφερτον Πελοπίδαις ἐπεύχεται,
unit_490.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ,
οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος.
ἐκ τῶνδέ τοι πεσόντα τόνδ’ ἰδεῖν πάρα.
κἀγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεύς.
τρίτον γὰρ ὄντα μ’ ἔλιπε, κἀθλίῳ πατρὶ
συνεξελαύνει τυτθὸν ὄντ’ ἐν σπαργάνοις·
τραφέντα δ’ αὖθις ἡ δίκη κατήγαγεν,
καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὤν,
πᾶσαν ξυνάψας μηχανὴν δυσβουλίας.
οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοί,
ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσιν.
Χο.Αἴγισθ’, ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.
σὺ δ’ ἄνδρα τόνδε φῂς ἑκὼν κατακτανεῖν,
μόνος δ’ ἔποικτον τόνδε βουλεῦσαι φόνον;
οὔ φημ’ ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα
δημορριφεῖς, σάφ’ ἴσθι, λευσίμους ἀράς.
Αι.σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος
κώπῃ, κρατούντων τῶν ἐπὶ ζυγῷ δορός;
γνώσῃ γέρων ὢν ὡς διδάσκεσθαι βαρὺ
τῷ τηλικούτῳ, σωφρονεῖν εἰρημένον.
δεσμοὶ δὲ καὶ τὸ γῆρας αἵ τε νήστιδες
δύαι διδάσκειν ἐξοχώταται φρενῶν
ἰατρομάντεις. οὐχ ὁρᾷς ὁρῶν τάδε;
πρὸς κέντρα μὴ λάκτιζε, μὴ παίσας μογῇς.
Χο.γύναι, σὺ τοὺς ἥκοντας ἐκ μάχης νέον—
οἰκουρὸς εὐνήν 〈τ’〉 ἀνδρὸς αἰσχύνους’ ἅμα,
ἀνδρὶ στρατηγῷ τόνδ’ ἐβούλευσας μόρον;
Αι.καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ.
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις.
ὁ μὲν γὰρ ἦγε πάντα που φθογγῆς χαρᾷ,
σὺ δ’ ἐξορίνας νηπίοις ὑλάγμασιν
ἄξῃ· κρατηθεὶς δ’ ἡμερώτερος φανῇ.
Χο.ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσῃ,
ὃς οὐκ, ἐπειδὴ τῷδ’ ἐβούλευσας μόρον,
δρᾶσαι τόδ’ ἔργον οὐκ ἔτλης αὐτοκτόνως.
Αι.τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς,
ἐγὼ δ’ ὕποπτος ἐχθρὸς ἢ παλαιγενής.
ἐκ τῶν δὲ τοῦδε χρημάτων πειράσομαι

ἄρχειν πολιτῶν· τὸν δὲ μὴ πειθάνορα
1640.1 ζεύξω βαρείαις, οὔτι μὴ σειραφόρον
1640.2 κριθῶντα πῶλον· ἀλλ' ὁ δυσφιλὴς σκότῳ
1640.3 λιμὸς ξύνοικος μαλθακόν σφ' ἐπόψεται.
1640.4 Χο.τί δὴ τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς
1640.5 οὐκ αὐτὸς ἠνάριζες, ἀλλὰ σὺν γυνὴ
1645.1 χώρας μίασμα καὶ θεῶν ἐγχωρίων
1645.2 ἔκτεινε; Ὀρέστης ἆρά που βλέπει φάος,
1645.3 ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ
1645.4 ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς;
1645.5 Αι.ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν, γνώσῃ τάχα·
unit_502.1 εἶα δή, φίλοι λοχῖται, τοὔργον οὐχ ἑκὰς τόδε.
unit_502.2 Χο.εἶα δή, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω.
unit_502.3 Αι.ἀλλὰ κἀγὼ μὴν πρόκωπος οὐκ ἀναίνομαι θανεῖν.
unit_502.4 Χο.δεχομένοις λέγεις θανεῖν σε· τὴν τύχην δ' αἱρούμεθα.
unit_502.5 Κλ.μηδαμῶς, ὦ φίλτατ' ἀνδρῶν, ἄλλα δράσωμεν κακά.
1655 ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον θέρος·
unit_504.1 πημονῆς δ' ἅλις γ' ὑπάρχει· μηδὲν αἱματώμεθα.
unit_504.2 στείχετ' αἰδοῖοι γέροντες πρὸς δόμους, πεπρωμένοις
unit_504.3 πρὶν παθεῖν εἴξαντες· ἀρκεῖν χρὴ τάδ' ὡς ἐπράξαμεν.
unit_504.4 εἰ δέ τοι μόχθων γένοιτο τῶνδ' ἅλις, δεχοίμεθ' ἄν,
1660.1 δαίμονος χηλῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι.
1660.2 ὧδ' ἔχει λόγος γυναικός, εἴ τις ἀξιοῖ μαθεῖν.
1660.3 Αι.ἀλλὰ τούσδε μοι ματαίαν γλῶσσαν ὧδ' ἀπανθίσαι
1660.4 κἀκβαλεῖν ἔπη τοιαῦτα δαίμονος πειρωμένους,
1660.5 σώφρονος γνώμης δ' ἁμαρτεῖν τὸν κρατοῦντ' 〈ἀρνουμένουσ〉.
1665.1 Χο.οὐκ ἂν Ἀργείων τόδ' εἴη, φῶτα προσσαίνειν κακόν.
1665.2 Αι.ἀλλ' ἐγώ ς' ἐν ὑστέραισιν ἡμέραις μέτειμ' ἔτι.
1665.3 Χο.οὔκ, ἐὰν δαίμων Ὀρέστην δεῦρ' ἀπευθύνῃ μολεῖν.
1665.4 Αι.οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους.
1665.5 Χο.πρᾶσσε, πιαίνου, μιαίνων τὴν δίκην, ἐπεὶ πάρα.
1670.1 Αι.ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν.
1670.2 Χο.κόμπασον θαρσῶν, ἀλέκτωρ ὥστε θηλείας πέλας.
1670.3 Κλ.μὴ προτιμήσῃς ματαίων τῶνδ' ὑλαγμάτων· 〈ἐγὼ〉
unit_508 καὶ σὺ θήσομεν κρατοῦντε τῶνδε δωμάτων 〈καλῶσ〉.

Eulogikon public reading copy · View original HTML at eulogikon.org